ΠΕΡΙ

Peri

ΦΕΡΕΚΥΔΟΥ

Pherekydou

ΤΟΥ ΣΥΡΙΟΥ

tou Syriou

ΚΑΙ ΤΗΣ ΘΕΟΓΟΝΙΑΣ ΑΥΤΟΥ

kai tes Theogonias Autou

ΥΠΟ

Speliotopoulos

ΔΑΜΑΣΚΗΝΟΥ ΣΠΗΛΙΩΤΟΠΟΥΛΟΥ

Speliotopoulos

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΚΑΙ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΤΗΣ ΕΝ ΜΟΝΑΧῼ ΕΛΛΗΝΙΚΗΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΑΣ

Ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ' ἀλώμεθα
ΣΟΦΟΚΛΗΣ

D. Speliotopoulos



ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ «Ο ΠΑΛΑΜΗΔΗΣ»
1890

UEBER

PHERECYDES

DEN SYRIER

UND SEINE THEOGONIA

VON

DAMASKINOS SPILIOTOPULUS

DOCTOR DER PHILOSOPHIE

UND ARCHIMANDRIT DER GRIECHISCHEN ORTHODOXEN KIRCHE IN MUENCHEN

Ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ᾽ ἀλώμεθα

ΣΟΦΟΚΛΗΣ



ATHEN

BUCHDRUCKEREI «DER PALAMIDIS»

1890

ΠΕΡΙ

ΦΕΡΕΚΥΔΟΥ

ΤΟΥ ΣΥΡΙΟΥ

ΚΑΙ ΤΗΣ ΘΕΟΓΟΝΙΑΣ ΑΥΤΟΥ

ΥΠΟ

ΔΑΜΑΣΚΗΝΟΥ ΣΠΗΛΙΩΤΟΠΟΥΛΟΥ

ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ

ΚΑΙ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΤΗΣ ΕΝ ΜΟΝΑΧΩι ΕΛΛΗΝΙΚΗΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΑΣ

Ἴσμεν γὰρ οὐδὲν τρανές, ἀλλ' ἀλώμεθα

ΣΟΦΟΚΛΗΣ



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ «Ο ΠΑΛΑΜΗΔΗΣ»

1890

Μετὰ τὸν Στούρτζιον, ὅσπερ ἐκδοὺς τὰ ἀποσπάσματα Φερεκύδου τοῦ Ἀθηναίου προέταξε τῆς ἑαυτοῦ ἐκδόσεως πραγματείαν περὶ ἑκατέρου τοῦ Φερεκύδου, τοῦ τε φιλοσόφου καὶ τοῦ ἱστορικοῦ, πλήρη πολυμαθίας, ἐπιγραφομένην ***Pherecydis fragmenta coll. emend. ill. Fr. G. Sturz ed. altera Lipsiae 1824*** καὶ περιλαμβάνουσαν πάντα τὰ μέχρι τοῦ ἔτους ἐκείνου περὶ τοῦ ζητήματος γραφέντα, ἐπραγματεύθησαν περὶ τῆς Φερεκυδείου πεντεμύχου ἐν τοῖς πρώτοις οἵδε·

Ὁ ***Brandis*** ἐν τῷ ἑαυτοῦ ***Handbuch der Gesch. der Griechisch-Römischen Philosophie, Berlin 1835*** τομ. 1. σελ. 79 κἑ.

Ὁ ***Preller*** ἐν πραγματείᾳ δημοσιευθείσῃ ἐν ***Rhein. Museum*** τόμ. 4 (1845) σελ. 377 κἑ καὶ ἐπιγραφομένῃ ***Die Theogonie des Pherecydes von Syros*** (παραβ. καὶ ἐγκυκλοπαιδ. ***Ersch*** καὶ ***Gruber*** ἐν λέξ. Φερεκύδης, ἔτι δὲ καὶ Πρελλέρου ***Ausgewählte Aufsätze aus dem Gebiete der Klassischen Alterthumswissenschaft*** (1864) σελ. 350-361.

Ὁ ***Jacobi, Ueber die Fragmente des Pherecydes bei den Kirchenvätern 1850.***

Ὁ ***R. Zimmermann, Ueber die Lehre des Pherecydes von Syros und ihr Verhältniss zu aussergriechischen Glaubenskreisen*** ἐν ***Zeitschrift für Philosophie und philos. Kritik*** τόμ. 24 (1854) σελ. 160-199.

Ὁ ***J. Conrad de Pherecydis Syrii aetate atque cosmologia Diss. Inaug Bonnen 1856.***

Ὁ ***Zeller, Gesch. der griech. Philosophie*** τόμος 1 σελ. 71 κἑ ἐκδόσεως τετάρτης.

Ὁ ***Bergk*** ἐν τῇ ἑαυτοῦ ***Griech. Lit. Gesch.*** τομ. 2 σελ. 424 κἑ καὶ τόμ. 3 σελ. 327.

Ὁ ***Diels, zu Pherecydes von Syros*** ἐν ***Archiv für d. Gesch. der Philosophie*** τόμ. 1 σελ. 11 κἑ (1887).

'Ο *Otto Gruppe, Die griech. Culte und Mythen in ihren Beziehungen zu den orientalischen Religionen* σελ. 654 (1887).

'Ο *Kern de Orphei, Epimenidis, Pherecydis Theogoniis Quaestiones criticae* σελ. 83-106 καὶ.

'Ο Τιμολέων Δ. 'Αμπελᾶς, ἱστορία τῆς νήσου Σύρου (1874).

Πλὴν τῆς σαφοῦς καί, ὡς εἴρηται, πολυμαθοῦς, ἀλλὰ διὰ τοὺς χρόνους, καθ' οὓς ἐγράφη, ἀπηρχαιωμένης πως νῦν πραγματείας τοῦ Στουρτζίου λόγου ἰδίου ἀξιοῦμεν τὸ πονημάτιον τοῦ **Conrad**, ὅπερ ἕνεκα τῆς αὐτοῦ βραχυλογίας καθίσταται μὲν ἐνιαχοῦ δυσπαρακολούθητον, ἐνέχει ὅμως πολλὰς ἰδέας, ἃς οἱ μετ' αὐτὸν ἐξέθεντο σαφέστερον, ὡς καταδείκνυται ὑφ' ἡμῶν ἐν τῷ οἰκείῳ τόπῳ.

Περὶ τὴν σύνταξιν δὲ ταύτης τῆς ἡμετέρας πραγματείας παρέστη λόγῳ καὶ ἔργῳ πρόθυμος ἀρωγὸς ὁ ἐν τῷ πανεπιστημίῳ τῆς 'Ερλάγγης σοφὸς καὶ ὄντως φιλέλλην καθηγητὴς ***Iwan von Müller***, ἐφ' ᾧ καὶ χάριτας μεγίστας ὁμολογοῦμεν αὐτῷ δημοσίᾳ ἐνταῦθα.

'Εν Μονάχῳ Μηνὶ 'Ιουλίῳ 1890.

ΔΑΜ. ΣΠΗΛΙΩΤΟΠΟΥΛΟΣ
ΑΡΧΙΜΑΝΔΡΙΤΗΣ

ΜΕΡΟΣ Α΄.

ΠΕΡΙ ΤΟΥ ΒΙΟΥ ΤΟΥ ΦΕΡΕΚΥΔΟΥ

Φερεκύδης ὁ Σύριος διά τε τοὺς χρόνους, καθ' οὓς ἐβίω, καὶ τὸν χαρακτῆρα τῶν ἑαυτοῦ συγγραμμάτων παρέσχε πλείστην αἰτίαν εἰς εἰκασίας. Τὰ περὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων αὐτοῦ παρὰ Διογένει τῷ Λαερτίῳ καὶ Σουΐδᾳ παραδεδομένα οὕτω συγκεχυμένα εἰσίν, ὥστε ἐπ' ἀληθείας κατὰ τὸ δὴ λεγόμενον Δηλίου δεῖται *κολυμβητοῦ πρὸς ἐξεύρεσιν τοῦ ἀληθοῦς. Τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ παρεδίδοτο ἡμαρτημένως, ἔκ τινος δὲ παρὰ Στράβωνι (10, σελ.* 487 *Φερεκύδης ὁ Βάβυος) χωρίου εἰσήγαγεν ὁ **Vossius** τὴν ὀρθὴν γραφὴν παρὰ τῷ Σουΐδᾳ (Φερεκύδης Βάβυος, Σύριος ἀντὶ τοῦ τέως ἐν τοῖς ἀντιγράφοις φερομένου Βάβιος), ὁ δὲ **Menage** τὴν παρὰ τῷ Διογένει· ἔχων τοίνυν ὁ Φερεκύδης πατέρα τὸν Βάβυν*[1] *ἐγεννήθη ἐν τῇ νήσῳ Σύρῳ τῇ καὶ Σύρᾳ καὶ Συρίᾳ*[2] *καλουμένῃ, ἡ κουφόνοια*

---

1) Ὁ ***Conrad*** σελ. 1 τῆς ἑαυτοῦ πραγματείας ὑπολαμβάνει ὅτι τὸ ὄνομα Βάβυς ἐπλάσθη ὑπὸ τῶν ποιούντων τὸν Φερεκύδην Βαβυλώνιον ἢ Ἀσσύριον.

2) Περὶ τοῦ ὀνόματος Συρίας ταὐτοῦ τῷ Σύρος καὶ Σύρα παράβαλλε Στράβ. 10, 5, 8, εἰς Ὁμήρου Ὀδύσσειαν Ο, 402 ***Ross Wanderungen in Griechenland I,*** σελ. 128, ἔτι δὲ ***Buchholz Homer Realien I, 1, p.*** 256. Κατὰ τὸν Ἀρίσταρχον ὅμως παρ' Ἀριστονίκῳ σελ. 136 ἔκδ. ***Carnuth*** ἡ παρ' Ὁμήρῳ Συρία σημαίνει μυθικήν τινα νῆσον πρὸς βορρᾶν τῆς Ὀρτυγίας καὶ κατὰ τὰ δυτικώτατα πέρατα τῆς οἰκουμένης κειμένης, ὁ δὲ ***Movers Phoenicien II*** σελ. 74 ἀποφαίνεται, ὅτι τὸ ὄνομα Συρίη παρ' Ὁμήρῳ ἐξελέχθη πρὸς δήλωσιν τῆς ἀνέκαθεν ὑπαρχούσης ἔχθρας τῶν Φοινίκων πρὸς τοὺς Σύρους παρέχοντας τοῖς Φοίνιξι περιζήτητον ἐμπορίαν δούλων. Πρβ. καὶ ***Lauth Homer und Aegypten***

δὲ ὀψιαιτέρων συγγραφέων ποιήσασα αὐτὸν Ἀσσύριον παρεδέξατο καὶ ἕτερον Φερεκύδην, ἀστρολόγον δῆθεν, ὡς ἀναγινώσκεται παρὰ Διογένει τῷ Λαερτίῳ (I. 119: Ἄνδρων δ' ὁ Ἐφέσιός φησι δύο γεγονέναι Φερεκύδας Συρίους, τὸν μὲν ἀστρολόγον, τὸν δὲ θεολόγον, υἱὸν Βάβυος, ᾧ καὶ Πυθαγόραν σχολάσαι), ἀλλ' ἤδη ὁ Ἐρατοσθένης παρὰ τῷ αὐτῷ Διογένει ἀπορρίπτει τὸν ἀστρολόγον (I. 119: Ἐρατοσθένης δὲ ἕνα μόνον καὶ ἕτερον Ἀθηναῖον, γενεαλόγον) παραδεχόμενος ἕνα μόνον Σύριον καὶ ἕτερον Ἀθηναῖον, τὸν ἱστορικόν, ὅν, ὡς εἴρηται, καλεῖ γενεαλόγον. Ὥσπερ δὲ ὁ Ἄνδρων παρὰ Διογένει οὐχὶ ὀρθῶς ἔλεγε γεγονέναι δύο Συρίους Φερεκύδας, τὸν μὲν ἀστρολόγον, τὸν δὲ θεολόγον, οὕτω καὶ ὁ Σουίδας συγχέων τὰ πράγματα διακρίνει δύο ἱστορικούς, ἕνα Ἀθηναῖον καὶ ἕτερον Λέριον. Ὅτι δὲ Φερεκύδης ὁ Λέριος καὶ ὁ ἱστορικός εἰσιν εἷς καὶ ὁ αὐτὸς ἀπέδειξεν ἤδη ὁ ***Vossius (de Hist. gr. p. 445)*** *λέγων:* ***Accidit enim Pherecyde*** *(τῷ ἱστορικῷ),* ***quod est de aliis multis observatum, scilicet ut duas haberent patrias, unam naturae, ut ait Cicero, alteram civitatis.*** *Κατὰ ταῦτα Φερεκύδης ὁ ἱστορικὸς γεννηθεὶς ἐν τῇ νήσῳ Λέρῳ ἐπεχωρίασεν οὕτω μακρὸν ἐν Ἀθήναις, ὥστε ὀνομάζεται Ἀθηναῖος γεννηθεὶς κατὰ μὲν τὸν Σουΐδαν τὴν 75 Ὀλυμ.*

σελ. 27. 1867. Ὁ Ἡρόδοτος λέγει 7, 63: Ἀσσύριοι ὑπὸ μὲν Ἑλλήνων ἐκαλέοντο Σύριοι, ὑπὸ δὲ τῶν βαρβάρων Ἀσσύριοι ἐκλήθησαν. Σχολ. Ἀπολλων. 2,948: Ἀσσυρία ἐκαλεῖτο πάλαι Συρία· Σχολ. Αἰσχύλου Πέρσ. 84: Σύριον ἀντὶ τοῦ Ἀσσύριον. Ὅθεν κατὰ πιθανὸν λόγον παραχθέντες ἐκ τούτων τινὲς τῶν μεταγενεστέρων ἀρχαίων ἐποίησαν τὸν Φερεκύδην Ἀσσύριον καὶ Σύρον, ἔτι δὲ καὶ Βαβυλώνιον. Πρβ. ***Sturz Pherecyd. Fragm. p. 3.*** Παρατηρητέον δὲ ὅτι καὶ ὁ Πυθαγόρας γεννηθεὶς ἐν Σάμῳ ὀνομάζεται Σύριος (ἐκ τῆς νήσου Σύρου), τὸ μὲν ἕνεκα τῆς λεγομένης αὐτοῦ μαθητείας παρὰ Φερεκύδῃ, τὸ δὲ καὶ διότι ἴσως τὸ γένος αὐτοῦ κατήγετο ἐκ Σύρου. Ὅτι δὲ ὁ Πυθαγόρας καλεῖται καὶ Τυρρηνὸς προῆλθεν ἐκ τούτου, ὅτι τὸ γένος αὐτοῦ ὑπελαμβάνετο καταγόμενον ἐκ Φλιοῦντος, ἔχοντος τυρρηνικὸν καὶ πελασγικὸν πληθυσμόν. Πρβ. ***Zeller, Phil.d.Griech. I,*** 271 σημ. 1. Πολλῷ δ' ὕστερον ὁ Πορφύριος καὶ ἕτεροι ποιοῦσι τὸν Πυθαγόραν Σύρον ἢ Ἀσσύριον, ἔτι δὲ καὶ Τύριον, ὅπερ ὄνομα ἀπονεμηθὲν καὶ τῷ Φερεκύδῃ μαρτυρεῖ ὁ Κεδρηνὸς (σύνοψ. ἱστορ. τομ. I σελ. 94 B).

(*γεγονὼς πρὸ ὀλίγου τῆς οε΄ Ὀλυμπιάδος*)[3] *καὶ ἀκμάσας κατὰ τὸν Εὐσέβιον τὸ* 3 *ἔτος τῆς* 81 *Ὀλυμπιάδος* (=454|3.). *Σημειωτέον δέ, ὅτι πολλάκις παρὰ τοῖς ἐπιγιγνομένοις συγχέονται πρὸς ἀλλήλους Φερεκύδης ὁ Σύριος καὶ ὁ Ἀθηναῖος, ὡς δειχθήσεται ἐν τοῖς οἰκείοις τόποις τῆς ἡμετέρας πραγματείας.*

Τὰ δὲ τῆς γεννήσεως Φερεκύδου τοῦ Συρίου μνημονεύονται ὑπὸ τοῦ Σουίδα λέγοντος

γέγονε δὲ κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην ὡς συγχρονεῖν τοῖς ζ΄ σοφοῖς καὶ τετέχθαι περὶ τὴν με΄ Ὀλυμπιάδα

καὶ ὑπὸ τοῦ Λαερτίου Διογένους

γέγονε δὲ κατὰ τὴν πεντηκοστὴν ἐνάτην Ὀλυμπιάδα.

Ὅπως κρίνωμεν περὶ τῶν λέξεων τοῦ Σουίδα, ζητητέα ἐν πρώτοις ἡ σημασία τῆς λέξεως «γέγονεν». Ὁ Κλίντων, ὁμογνωμονοῦντος *αὐτῷ καὶ τοῦ* **Zimmermann**, ἑρμηνεύει τὸ *γέγονεν παρὰ τῷ Σουίδᾳ διὰ τοῦ ἐγεννήθη*· ὁμολογητέον, ὅτι *παρὰ τῷ Σουίδᾳ εὕρηνται χωρία, ἐν οἷς ἐν τῇ λέξει γέγονε ἢ γεγονὼς ὑπολανθάνει ἡ ἔννοια τῆς γεννήσεως. Περὶ τοῦ Πιττακοῦ* (*λ. Πιττακὸς*) *λέγει* ὁ *Σουίδας*

γέγονε κατὰ λβ΄, ἀνεῖλε Μέλαγχρον μβ΄

ὁ δὲ *Διογένης*

ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν δευτέραν Ὀλυμπιάδα.

Ἐκ τούτων ἐξάγεται, ὅτι ὁ μὲν Σουίδας ἐννοεῖ τὸ τῆς γεννήσεως ἔτος τοῦ Πιττακοῦ, ὁ δὲ Διογένης τὸ τῆς ἀκμῆς. Καὶ περὶ τοῦ Ἀναξιμένους δὲ (*λ. Ἀναξιμένης*) *γράφων ὁ Σουίδας*

γέγονεν ἐν τῇ νε΄ Ὀλυμπιάδι

ἐννοεῖ τὸ γενέθλιον ἔτος τοῦ φιλοσόφου, ὡς καταφαίνεται ἐκ τοῦ Διογένους, βεβαιουμένου κατὰ τὸν Ἀπολλόδωρον, ὅτι ὁ Ἀναξιμένης ἤκμασε κατὰ τὴν 63 *Ὀλυμπιάδα*

καὶ γεγένηται μέν, καθά φησιν Ἀπολλόδωρος, τῇ ἑξηκοστῇ

---

3) Ἐν ταῖς λέξεσι τοῦ Σουίδα (γεγονὼς πρὸ ὀλίγου τῆς οε΄ Ὀλυμπιάδος) ὁ **C. Müller Fragm Historic. Graec. p. XXXVI)** μὴ ὑπολαμβάνων, ὥσπερ ὁ **Krüger**, τὸ *γεγονὼς=γεννηθεὶς* καὶ ἀποφαινόμενος, ὅτι ὁ Σουίδας ἠρύσατο τὰς ἑαυτοῦ χρονολογίας ἐξ ἀναγραφῶν ποιουσῶν τοὺς ἀνθρώπους κατὰ 7 Ὀλυμπιάδας πρεσβυτέρους ἀποδέχεται τὸ *γεγονὼς=τῷ ἀκμάσας*, προστιθεμένων δὲ εἰς τὴν χρονολογίαν τοῦ Σουίδα (οε΄ Ὀλ.) 7 Ὀλυμπιάδων ἀποτελεῖται ἡ χρονολογία τοῦ Εὐσεβίου (πα΄).

τρίτη Ὀλυμπιάδι, ἐτελεύτησε δὲ περὶ τὴν Σάρδεων ἅλωσιν (ἐννοητέον τὴν δευτέραν τῶν Σάρδεων ἅλωσιν). Τούτοις προσθετέον τὰ περὶ Θάλητος λεγόμενα ὑπὸ τοῦ Σουίδα

γεγονὼς πρὸ Κροίσου ἐπὶ τῆς λε´ Ὀλυμπιάδος· κατὰ ταύτην δὲ τὴν Ὀλυμπιάδα μαρτυρεῖται ὑπὸ τοῦ Ἀπολλοδώρου ὅτι ἐγεννήθη ὁ Θαλῆς τελευτήσας κατὰ τὸν Εὐσέβιον περὶ τὴν νη´ Ὀλυμπιάδα.

Κατὰ τὸν αὐτὸν τοίνυν τρόπον ἑρμηνευτέον καὶ τὸ χωρίον τοῦ Σουίδα περὶ Φερεκύδου τοῦ Λερίου (Ἀθηναίου)

γεγονὼς πρὸ ὀλίγου τῆς οε´ Ὀλυμπιάδος ὅπερ ἐποιήσαμεν ἐν τοῖς ἔμπροσθεν εἰπόντες, ὅτι ὁ μὲν Σουίδας ἐννοεῖ τὸ ἔτος τῆς γεννήσεως, ὁ δὲ Εὐσέβιος τὸ τῆς ἀκμῆς, οὐχὶ δὲ ὡς ἀποφαίνεται ὁ **Müller**. *διότι ἐν μὲν τῷ χωρίῳ τούτῳ προστιθεμένων 7 Ὀλυμπιάδων εἰς τὴν οε´ Ὀλυμπιάδα ἔχομεν χρονολογίαν τοῦ Σουίδα περὶ τοῦ Λερίου Φερεκύδου ὁμοίαν πρὸς τὴν τοῦ Εὐσεβίου, τοῦ λόγου ὅμως ὄντος περὶ Φερεκύδου τοῦ Συρίου, τιθέντος τὸν Φερεκύδην τοῦτον κατὰ τὴν με´ Ὀλυμπιάδα, καὶ τῆς τοῦ Διογένους λέγοντος, ὅτι ἤκμασε κατὰ τὴν νθ´ Ὀλυμπιάδα οὐκ ἐκλείπει διὰ τῆς μεθόδου τοῦ* **Müller**, *διότι προστιθεμένων 7 Ὀλυμπιάδων εἰς τὴν με´ Ὀλυμπιάδα ἀποτελεῖται ἀριθμὸς νβ´ Ὀλυμπιάδες καὶ οὐχὶ νθ´ Ὀλυμπιάδες.*

Ἐν τοῖς εἰρημένοις τοίνυν χωρίοις τοῦ Σουίδα τὸ γέγονεν ἢ γεγονὼς ἐνέχει τὴν ἔννοιαν τοῦ ἐγεννήθη, ἐν δὲ τῷ τοῦ Διογένους τὴν τοῦ ἤκμασεν, πιστοῦται δὲ ἡ ἑρμηνεία αὕτη καὶ ἐξ ὅσων περὶ τῆς ἀκμῆς τοῦ Συρίου Φερεκύδου μνημονεύονται πλὴν τοῦ Διογένους καὶ παρ' ἄλλοις συγγραφεῦσιν. Ὁ Κικέρων **(Tusc. quaest. 1, 16)** *μνημονεύει, ὅτι ὁ Σύριος Φερεκύδης ἐγένετο ἐπὶ τῆς βασιλείας ἐν Ῥώμῃ τοῦ Σερουΐου Τυλλίου, ὁ Πλίνιος* (H. N. 7, 56) *λέγει ὅτι ἐπὶ τῆς βασιλείας τοῦ Κύρου. Καὶ ὁ Εὐσέβιος δὲ καὶ ὁ ἐξ αὐτοῦ ἐμμέσως*[4] *ἀντλήσας Γεώργιος Σύγκελλος* (800 μ. Χ.) *συμφωνοῦσι τούτοις ὁ μὲν Σύγκελλος γράφων (ἐκ λ. χρονογραφ.): Φερεκύδης ἱστορικὸς ἐγνωρίζετο Πυθαγόρου διδάσκαλος, ὁ δὲ Εὐσέβιος, παρ' ᾧ ἀναγινώσκονται αἱ αὐταὶ λέξεις, λέγων, ὅτι ὁ μὲν Πεισίστρατος καὶ Θέογνις ἤκμασαν κατὰ τὴν νθ´ Ὀλυμιάδες, ὁ δὲ Φερεκύδης κατὰ τὴν ξ´ Ὀλυμπιάδα. Ὅτι δὲ παρ' ἀμφοτέροις πλημμελῶς ἐγράφη «Φερεκύδης*

---

4) Πρβ. *Gelzer Sextus Julius Africanus und die byzantinische Chronographie 1885.*

ἱστορικὸς» ἀντὶ Φερεκύδης ὁ φιλόσοφος, περὶ τούτου οὐδεμία ἀμφιβολία, ἅτε τοῦ Συρίου παρὰ πάντων λεγομένου διδασκάλου τοῦ Πυθαγόρου, τοῦ δὲ ἱστορικοῦ τιθεμένου ὑπὸ τοῦ αὐτοῦ Εὐσεβίου, ὡς ἐν τοῖς ἔμπροσθεν δεδήλωται, περὶ τὴν πα΄ Ὀλυμπιάδα. Μόνος Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. I *p.* 323 *B) προφανέστατα σφαλλόμενος τίθησι τὸν Φερεκύδην περὶ τὰς Ὀλυμπιάδας* (776) *ἤτοι ὅτε ἤρξατο ἡ κατὰ Ὀλυμπιάδας χρονολογία. Τῆς μαρτυρίας δὲ τοῦ Εὐσεβίου, καθ᾽ ἣν Φερεκύδης ὁ Σύριος ἤκμασε κατὰ τὴν ξ΄ Ὀλυμπιάδα διαφέρει κατὰ μίαν Ὀλυμπιάδα ἡ μαρτυρία τοῦ Λαερτίου λέγοντος : γέγονε δὲ κατὰ τὴν πεντηκοστὴν ἐνάτην Ὀλυμπιάδα. Μείζων διαφορὰ τοῦ χρονικοῦ διαστήματος παρὰ Διογένει καὶ Εὐσεβίῳ ὑπάρχει καὶ περὶ Σωκράτους. Κατὰ τὸν Διογένην ὁ Ἀπολλόδωρος ἔθηκε τὸ γενέθλιον ἔτος τοῦ Σωκράτους κατὰ τὸ τέταρτον ἔτος τῆς οζ΄ Ὀλυμπ.* (II, 44 *ἐγεννήθη δέ, καθ᾽ ἅ φησιν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς, ἐπὶ Ἀψεφίωνος ἐν τῷ τετάρτῳ ἔτει τῆς οζ΄ Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ... ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐνενηκοστῆς πέμπτης Ὀλυμπιάδος γεγονὼς ἐτῶν* 70), *τὸ δὲ τοῦ θανάτου κατὰ τὸ πρῶτον τῆς* 95 *Ὀλυμπιάδος. Κατὰ τὸν Εὐσέβιον (p. 334)* ὁ *Σωκράτης ἐγεννήθη τὸ πρῶτον ἔτος τῆς οθ΄ Ὀλυμπ. καὶ ἀπέθανε τὸ δεύτερον τῆς* 96 *Ὀλυμπιάδος. Περὶ Πυθαγόρου ἡ διαφορά ἐστιν ἐπίσης μείζων. Κατὰ τὸν Ἀπολλόδωρον ὁ Πυθαγόρας ἤκμασε κατὰ τὴν ξ΄ Ὀλυμπιάδα, κατὰ δὲ τὸν Εὐσέβιον τὸ δεύτερον ἔτος τῆς ξβ΄ Ὀλυμπ. Ἐπειδὴ δὲ Διογένης ὁ Λαέρτιος καὶ ἄλλων ἀνδρῶν τοὺς χρόνους, μὴ συνᾴδοντας πρὸς τοὺς τοῦ Εὐσεβίου, ὁμολογεῖ, ὅτι ἠρύσατο ἐκ τοῦ Ἀπολλοδώρου, διὰ τοῦτο φαίνεται πιθανόν, ὅτι καὶ τὴν περὶ Φερεκύδου χρονολογίαν μετωχέτευσεν ἐκ τῆς αὐτῆς πηγῆς, ὡς ἐμφανὲς καθίσταται ὑπὸ τοῦ Conrad p. 10. Θέλων δὲ ὁ Conrad νὰ ὁρίσῃ κατὰ προσέγγισιν καὶ τὴν ἡλικίαν, ἣν ἐβίω ὁ Φερεκύδης, λέγει ὅτι τὰ περὶ Φερεκύδου τοῦ Συρίου μνημονευόμενα ὑπὸ τοῦ Ψευδολουκιανοῦ ἐν τοῖς Μακροβίοις τόμ.* 3 *p.* 224, 93

Ἑλλάνικος ὁ Λέσβιος ὀγδοήκοντα καὶ πέντε καὶ Φερεκύδης ὁ Σύριος ὁμοίως ὀγδοήκοντα καὶ πέντε. Τιμαῖος δὲ ὁ Ταυρομένιος ἓξ καὶ ἐνενήκοντα

ἀνάγονται εἰς Φερεκύδην τὸν Σύριον[5]. *Ἀποφαινόμενος δὲ ὁ Conrad*

5) Περὶ τοῦ Λουκιανείου χωρίου γράφει ὁ *Sturz p. 60:* Τοῦτο τὸ

(σελ. 14), ὅτι ὁ Φερεκύδης γεννηθεὶς κατὰ τὴν 45 Ὀλυμπιάδα ἢ καὶ ὀλίγῳ πρότερον αὐτῆς ἀπέθανε κατὰ τὴν 62 Ὀλυμπ. σχεδὸν ὀγδοηκοντούτης λανθάνει ἑαυτὸν ἐξημαρτηκὼς οὐ σμικρὸν ἁμάρτημα, διότι ἀπὸ τῆς 45 μέχρι τῆς 62 Ὀλυμπιάδος εἰσὶν 71-72 ἔτη οὐχὶ δὲ ὀγδοήκοντα. Ἐπανερχόμενοι δὲ εἰς τὰς λέξεις τοῦ Σουίδα

Φερεκύδης Σύριος γέγονε κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην ὡς συγχρονεῖν τοῖς ἑπτὰ σοφοῖς καὶ τετέχθαι περὶ τὴν με' Ὀλυμπιάδα

λέγομεν ὅτι ἤδη ὑπὸ τοῦ **Conrad** (σελ. 9) παρετηρήθη ὅτι παλιλλογεῖ ὁ Σουίδας λέγων τὰ ἀνωτέρω. Πῶς γὰρ ἠδύνατο λέγειν: Φερεκύδης Σύριος ἐγεννήθη (γέγονε) κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην (βασιλεύσαντα ἀπὸ τῆς μ' - με' Ὀλυμπ.), ὅθεν ἕπεται ὅτι συγχρονῶν τοῖς ἑπτὰ σοφοῖς ἐτέχθη κατὰ τὴν με' Ὀλυμπιάδα. Πρῶτος τοίνυν ὁ **Conrad** ὑποπτεύσας, ὅτι διὰ τῆς λέξεως «γέγονε» ὁ Σουίδας ἠβούλετο οὐχὶ τὸ τῆς γεννήσεως ἔτος δηλοῦν, ἀλλὰ τὸ τῆς ἀκμῆς, ἐπιπολαίως ὅμως συρράπτων ἔλαθε λαβὼν τὸ τῆς γεννήσεως ἀντὶ τοῦ τῆς ἀκμῆς ἔτους, παρέσχε τὸ ἐνδόσιμον εἰς τὸν **Rohde** πρὸς σύγγραφὴν ἐμβριθοῦς περὶ τοῦ «γέγονε» παρὰ Σουίδᾳ πραγματείας περιεχομένης ἐν τῷ **Rheinisches Museum** τομ. 33 σελ. 161-220. Ἡ ὑπόθεσις τοῦ **Rohde** κεφαλαιωδῶς ἔχει ὧδε: Τοῦ γέγονε ἐν τῷ περὶ Φερεκύδου χωρίῳ τοῦ Σουίδα ἐκλαμβανομένου = ἐγεννήθη (**Clinton Fast. Hellen.** a. 544, **Zeller**, **Phil. der Griechen** I^3 72) ἀμφιβάλλω εἰ ἡ γνώμη τοῦ Σουίδα ἦν τοιαύτη. Ἡ Ὀλυμπιὰς με' (600) συμπίπτει τῇ βασιλείᾳ τοῦ Ἀλυάττου, ἀλλ' εἰς τὴν χρονολογίαν ταύτην ἐναντιοῦται ἡ προσθήκη «ὡς συγχρονεῖν τοῖς ἑπτὰ σοφοῖς» δηλοῦσα, ὅτι ὁ Φερεκύδης ἤκμασε καθ' ἣν Ὀλυμπιάδα λέγονται ἀκμάσαντες

χωρίον ἐννοητέον οὐχὶ περὶ τοῦ φιλοσόφου Φερεκύδου, ἀλλὰ περὶ τοῦ ἱστορικοῦ, ὡς καταφαίνεται ἐκ τούτου, ὅτι ὁ Λουκιανὸς διαλαμβάνει περὶ ἱστορικῶν μνημονεύων τὴν ἡλικίαν τοῦ Ἑλλανίκου καὶ εὐθὺς μετὰ ταῦτα τὴν τοῦ Φερεκύδου. Ὅθεν ὁμογνώμων ἂν ἦν τῷ **J. Heinr. Mai** εἰκάζοντι Φερεκύδης ὁ Λέριος ἀντὶ Φερεκύδης ὁ Σύριος παρὰ τῷ Λουκιανῷ, εἰ μὴ τὸ σφάλμα διεπράχθη ὑπ' αὐτοῦ καὶ οὐχὶ ὑπὸ τοῦ βιβλιογράφου. Καὶ ὁ **Zeller** (1, 72 σημ. 1) διατείνεται ὅτι ὁ Λουκιανὸς ἐννοεῖ τὸν Σύριον Φερεκύδην. Ὁ **Dindorf** καὶ **Jacobitz** γράφουσιν ἐν ταῖς ἑαυτῶν ἐκδόσεσι Σύριος ἀντὶ Σύρος.

καὶ οἱ ἑπτὰ σοφοί. Ὁ Σουίδας (λ. Πιττακός, Τυρταῖος, Μίμνερμος, Περίανδρος) φαίνεται, ὅτι τίθησι τοὺς χρόνους τῶν ἑπτὰ σοφῶν μετὰ τὴν λζ' Ὀλυμπιάδα ἡ συνήθης ὅμως χρονολογία τῶν ἑπτὰ σοφῶν ἐστιν ἡ ὑπὸ Δημητρίου τοῦ Φαληρέως[6] ὁριζομένη: *Ἄρχοντος Ἀθήνησι Δαμασίου τοῦ Α' (Ὀλυμπ.* 48,4 = 585/4, *ἴδε* ***Fischer griech. Zeit. a. 585. Diels Rhein. Museum XXXI, 17)***, *ἣν καὶ ὁ Ἡσύχιος φαίνεται ἔχων πρὸ ὀφθαλμῶν. Ἀλλὰ τοῦτο πῶς συμφωνεῖ πρὸς τὴν προσθήκην καὶ τετέχθαι περὶ τὴν με' Ὀλυμπ., τοῦ Σουίδα παραδεχομένου τοὺς χρόνους τῶν ἑπτὰ σοφῶν περὶ τὴν λζ' Ὀλυμπιάδα, κατὰ δὲ τὴν συνήθη χρονολογίαν τῶν ἑπτὰ σοφῶν ἀκμασάντων περὶ τὴν μη' Ὀλυμπιάδα; Ἡ ἀντίφασις αὕτη διαμένει, ἐάν τε τὸ* γεγονὼς *ἐκληφθῇ* = ἤκμαζε, *ἐάν τε* = ἐγεννήθη. *Εἰκάζω τοίνυν, ὅτι αἱ εἰδήσεις Φερεκύδης Σύριος γέγονε κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην καὶ τετέχθαι περὶ τὴν με' Ὀλυμπιάδα ἐλήφθησαν ἐκ διαφόρων πηγῶν ἑνωθεῖσαι εἶτα εἰς ἓν ἀκρίτως ὑπὸ τοῦ Σουίδα. Ἡ εἴδησις τοῦ Σουίδα περὶ Φερεκύδου ἐλήφθη, οὐχί, ὥσπερ αἱ πλεῖσται, ἐκ τοῦ Διογένους ἢ κατὰ τὸν* ***Nitsche*** *μετὰ τοῦ Διογένους ἐκ κοινῆς πηγῆς, ἀλλ' ἐκ διαφόρων. Μίαν τῶν πηγῶν τούτων εἰκάζω τὴν φιλόσοφον ἱστορίαν τοῦ Πορφυρίου. Ἔχων δὲ ὁ Σουίδας καὶ τὴν ἄλλην κοινὴν πηγὴν καὶ μὴ ἀρκούμενος εἰς τὰς ἐκ τοῦ Πορφυρίου ληφθείσας λέξεις (γέγονε κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην) ὁριζού-*

---

6) Διογένης ὁ *Λαέρτιος* 1, 22 λέγων καὶ πρῶτος (Θαλῆς) σοφὸς ὠνομάσθη ἄρχοντος Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν ἀρχόντων ἀναγραφῇ, ἀποβλέπει εἰς τὴν ὑπὸ τοῦ Θάλητος προρρηθεῖσαν ἡλιακὴν ἔκλειψιν ἣν Δημήτριος ὁ Φαληρεὺς καθ' ὑπολογισμὸν τοῦ Ῥοδίου Εὐδήμου τίθησιν ἐν τῷ τρίτῳ ἔτει τῆς μθ' Ὀλυμπιάδος, διὰ τῆς προφητείας ταύτης ἤρατο ὁ Θαλῆς μέγα κλέος καὶ ἕνεκα τούτου ὑπολαμβάνεται τὸ ἔτος τοῦτο ὡς τὸ χρονικὸν σημεῖον τῆς τῶν ἑπτὰ σοφῶν ἀκμῆς. Πρβ. ***Bergk Griech. Liter.*** 2, 416, σημ. 14. Οἱ νεώτεροι τιθέασι τὴν ἔκλειψιν ταύτην περὶ τὴν 28 Μαίου τοῦ ἔτους 585 ἤτοι περὶ τὸ 3 ἔτος τῆς μη' Ὀλυμπιάδος (Ὀλυμπ. 48,3). Πρβ, ***Hansen, Zweite Abhandlung*** ἐν ***VII Bde der Abh. der math.-phys. Cl. der K. Sächs. Ges. d. Wiss., Leipzig*** 1864, σελ. 379 κέ καὶ ***Ueberweg, Grundriss der Gesch. d. Philosophie***[6] σελ. 37.

σας ἀορίστως τὴν ἀκμὴν τοῦ Φερεκύδου ἐπὶ τῆς βασιλείας τοῦ Ἀλυάττου προσέβλεψε καὶ εἰς τὴν ἄλλην ἐκείνην κοινὴν πηγὴν καὶ ἔλαβε τὴν δευτέραν χρονολογίαν, καθ' ἣν ὁ Φερεκύδης ἐγεννήθη περὶ τὸ ἔτος 600 οὐδαμῶς αἰσθανόμενος ὅτι αὕτη ἀντιφάσκει πρὸς τὴν ἐκ τοῦ Πορφυρίου ληφθεῖσαν εἴδησιν τῆς ἀκμῆς. Ὁ δὲ Πορφύριος παρεδέξατο γενικήν τινα χρονολογίαν περὶ Φερεκύδου, ὅπερ κατανοεῖ τις ἀναλογιζόμενος, ὅτι ἡ μορφὴ τοῦ Συρίου παρεδόθη τοῖς μετὰ ταῦτα λίαν νεφελώδης καὶ σκοτεινή. Ἡ ἄλλη χρονολογία τοῦ Διογένους: γέγονε κατὰ τὴν νθ' Ὀλυμπιάδα συνᾴδει τῇ καὶ ἄλλοθεν γνωστῇ ἀκμῇ τοῦ Φερεκύδου. Καὶ ὁ Εὐσέβιος τίθησι τὴν ἀκμὴν τοῦ Φερεκύδου κατὰ τὴν νθ' ἢ ξ' Ὀλυμπιάδα. Ἐντεῦθεν τοίνυν εἴκασεν ὁ Ἡσύχιος (καὶ κατ' αὐτὸν ὁ Σουίδας ἐν τῷ λεξικῷ αὐτοῦ) τὸν χρόνον τῆς γεννήσεως τοῦ Φερεκύδου. Τῆς ἀκμῆς τοῦ Φερεκύδου τιθεμένης ἐπὶ τῆς νθ' Ὀλυμπ. ἡ γέννησις αὐτοῦ ἀνακτέα κατὰ τὴν μθ' Ὀλυμπ. καὶ γραπτέον ΜΘ ἀντὶ ΜΕ, ἅτε τῆς ἀκμῆς ἀποτελουμένης ἐκ δέκα Ὀλυμπιάδων, ὡς καταφαίνεται καὶ ἄλλοθεν, οἷον ἐκ τοῦ Πιττακοῦ, οὗ ὁ μὲν Σουίδας μνημονεύει μόνον τὸν χρόνον τῆς γεννήσεως περὶ τὴν λβ' Ὀλυμπιάδα, ὁ δὲ Λαέρτιος (Ι, 79) μόνον τὸν τῆς ἀκμῆς χρόνον κατὰ τὴν μβ' Ὀλυμπιάδα. Οὕτω τοίνυν κατὰ τὸν **Rohde** τοῦ γέγονε παρὰ τῷ χωρίῳ τοῦ Σουίδα περὶ Φερεκύδου ὄντος = τῷ ἤκμασε καὶ δηλοῦντος τὴν γνώμην τοῦ Πορφυρίου περὶ τῆς ἀκμῆς τοῦ Φερεκύδου λύονται αἱ δυσκολίαι καὶ ἐκλείπουσιν αἱ ἀντιφάσεις προελθοῦσαι ἐκ τῆς ἐπιπολαιότητος τοῦ Σουίδα, συρράψαντος τὸ μὲν τῆς ἀκμῆς ἔτος ἐκ τοῦ Πορφυρίου, τὸ δὲ τῆς γεννήσεως ἐξ ἄλλων πηγῶν οὐδαμῶς αἰσθανομένου, ὅτι ἐν οἷς λέγει τὸ ἔτος τῆς ἀκμῆς καὶ τὸ τῆς γεννήσεώς ἐστιν ἓν καὶ τὸ αὐτό. Εἰ δ' ἔξεστι καὶ ἡμῖν γνώμην τινὰ περὶ τῆς ὑποθέσεως τοῦ **Rohde** ἀποφήνασθαι ἐρωτῶμεν ἐν πρώτοις πόθεν γινώσκει ὁ **Rohde**, ὅτι ὁ Πορφύριος, τοῦ Φερεκύδου γεννηθέντος κατὰ τὴν με' ἢ μθ' Ὀλυμπιάδα, ἀπεδέξατο ὡς ἔγγιστα τὴν ἀκμὴν τοῦ φιλοσόφου περὶ τὴν με' Ὀλυμπιάδα, ἁμαρτάνων οὕτω περὶ τοὺς χρόνους τῆς ἀκμῆς κατὰ δέκα καὶ τέσσαρας Ὀλυμπιάδας; Εἶτα δὲ ὁ **Rohde** ἀποδεχόμενος ὡς ἔτος τῆς γεννήσεως τοῦ Φερεκύδου τὴν μθ', καὶ οὐχὶ τὴν ὑπὸ τοῦ Σουίδα μνημονευομένην με' Ὀλυμπιάδα ποιεῖ αὐτὸν γεννηθέντα καθ' ἣν Ὀλυμπιάδα ἐγεννήθη καὶ ὁ Πυθαγόρας,

7) Κατὰ τὴν κρατοῦσαν νῦν γνώμην ὁ Πυθαγόρας ἐγεννήθη περὶ τὴν

ἤπερ σύμπτωσις καίπερ δυνατὴ φαίνεται ὅμως ἡμῖν παράδοξος [7]. Ἐξηγούμενοι δὲ τὰς λέξεις τοῦ Σουΐδα (γέγονε κατὰ τὸν Λυδῶν βασιλέα Ἀλυάττην, ὡς συγχρονεῖν τοῖς ἑπτὰ σοφοῖς καὶ τετέχθαι περὶ τὴν με' Ὀλυμπιάδα) εἰκάζομεν, ὅτι ὁ Σουίδας εἰπὼν ὅτι ὁ Φερεκύδης ἐγεννήθη κατὰ τὸν βασιλέα Ἀλυάττην (μ' - με' Ὀλ.), θέλων δὲ εἶτα ἅτε πρὸς Ἕλληνας γράφων ὁρίσαι ἔτι ἀκριβέστερον τὸν χρόνον τῆς γεννήσεως διὰ χρονολογίας Ἑλλήνων ἀνδρῶν (τῶν ἑπτὰ σοφῶν) ἐπάγεται: ὡς συγχρονεῖν τοῖς ἑπτὰ σοφοῖς: καὶ τέλος ἐν ἀριθμοῖς αὐτὴν τὴν Ὀλυμπιάδα, ἐν ᾗ ἐγεννήθη. Ἡ ἑρμηνεία ἡμῶν αὕτη φαίνεται φυσικωτέρα ἅτε ἐρειδομένη ἐπὶ τῶν λέξεων τοῦ Σουίδα ἄνευ αὐθαιρέτων μεταβολῶν καὶ ἑρμηνειῶν. Ὁ **Rohde** παραδεχόμενος τὴν ἀκμὴν τοῦ ἀνδρὸς ἀποτελουμένην ἐκ δέκα Ὀλυμπιάδων (40 ἐτῶν), ὅπερ ἀληθῶς πολλαχοῦ τοῦ Σουίδα, ὡς εἴδομεν, παρατηρεῖται, πρὸς ἐπίτευξιν τῆς συμφωνίας ταύτης μεταβάλλει παρὰ τῷ Σουίδᾳ τὸ ΜΕ' (45 Ὀλ.) εἰς ΜΘ' (49), ἅτε τοῦ Φερεκύδου ἀκμάσαντος περὶ τὴν νθ' Ὀλυμπιάδα. Ἡ μεταβολὴ ὅμως αὕτη φαίνεται ἡμῖν ἀνυπόστατος, διότι ὑπάρχουσι καὶ παραδείγματα ἀνδρῶν, ὧν ἡ ἀκμὴ οὐκ ἀποτελεῖται ἐκ δέκα, ἀλλ' ἐκ πλειόνων Ὀλυμπιάδων. Ὁ Θαλῆς κατ' ἀσφαλῆ παράδοσιν ἐγεννήθη τὸ πρῶτον ἔτος τῆς λε' Ὀλ. (35, 1), ἡ δὲ ἀκμὴ αὐτοῦ τε καὶ τῶν ἑτέρων ἑπτὰ σοφῶν τίθεται ὑπὸ Δημητρίου τοῦ Φαληρέως, ὡς εἴδομεν (σελ. 13) κατὰ τὸ 4 ἔτος τῆς μη' Ὀλ. (48, 4) ἢ κατὰ τὸ 3 ἔτος τῆς 49 Ὀλ. (49, 3), ὥστε ἔχομεν περὶ τῆς ἀκμῆς τοῦ Θάλητος τοιοῦτον ἀριθμὸν Ὀλυμπιάδων, οἷον καὶ περὶ Φερεκύδου γεννηθέντος κατὰ τὸν Σουίδαν περὶ τὴν με' Ὀλυμπιάδα. Τέλος δὲ ἡ ἑτέρα διαφωνία, ἣν περιέχει ἡ λέξις συγχρονεῖν παρὰ Σουίδᾳ ἑρμηνευομένη ὑπὸ τοῦ **Rohde** διὰ τοῦ συνήκμασε ἐκλείπει, ἐὰν ὑπολάβωμεν, ὅτι ἡ λέξις συγχρονεῖν ἔχει οὐχὶ τὴν ὑπὸ τοῦ **Rohde** απονεμομένην αὐτῇ σημασίαν τοῦ συνακμάσαι, ἀλλὰ δηλοῖ ἁπλῶς ὅτι ὁ Φερεκύδης γεννηθεὶς κατὰ τὴν βασιλείαν τοῦ Ἀλυάττου συνεβίω τοῖς ἑπτὰ σοφοῖς ἤτοι ἐβίω κατὰ τοὺς χρόνους καθ' οὓς ἐβίωσαν καὶ οἱ ἑπτὰ σοφοί, ὅπερ οὐδεὶς δύναται ἀρνηθῆναι.

Ἐκ τῶν μέχρι τοῦδε εἰρημένων εὔδηλον καθίσταται, ὅτι ἀκριβὴς

μθ' Ὀλυμπιάδα, περὶ δὲ τὴν νθ' ἢ ξ Ὀλυμπ. ἀπῆλθεν εἰς Ἰταλίαν, ἔνθα καὶ ἀπέθανεν ἐν Μεταποντίῳ περὶ τὴν ξθ' Ὀλυμπιάδα. Πρβ. ***Zeller*, *Phil. der Griechen*** τόμον 1 σελ. 271 σημ. 2.

κατὰ πάντα ὁρισμὸς τῶν τῆς ἡλικίας τοῦ Συρίου καθίσταται ἀδύνατος. Ἀλλ' ὅμως τὸ νεωστὶ ὑπὸ τοῦ **Diels** ἀνακαλυφθὲν φαίνεται βέβαιον, ὅτι ἡ Πεντέμυχος τοῦ Φερεκύδου, ὡς καταφαίνεται ἐκ τῆς ὑποπτέρου δρυός, περὶ ἧς κατωτέρω λεχθήσονται τὰ δέοντα, συνεγράφη μετὰ τὴν δημοσίευσιν τοῦ περὶ Φύσεως βιβλίου τοῦ Ἀναξιμάνδρου (γενν. ἐν ἔτει 611 π. Χ.). Ἐν **Archiv für Geschichte der Philosophie** 1888 τομ. I, σελ. 14 λέγει ὁ **Diels** τάδε: Δηλώσας τὴν Πεντέμυχον (τοῦ Φερεκύδου) διατελοῦσαν ὑπὸ τὴν ῥοπὴν τῆς συγχρόνου φυσικῆς διανοοῦμαι ὡς σχόντα ἐπὶ τὸν Φερεκύδην τὴν ῥοπὴν ταύτην οὐχὶ τὸν Θάλητα, ἐκπροσωποῦντα τὴν Ἰωνικὴν φιλοσοφίαν ὡς πρὸς τὸ πρῶτον ἥμισυ τῆς ἕκτης ἑκατονταετηρίδος, ἀλλὰ τὸν ἔξοχον αὐτοῦ μαθητὴν Ἀναξίμανδρον. Ταῦτα ἀποφαινόμενος ἐρείδυμαι οὐχὶ ἐπὶ τῶν μαρτυρίων τῶν χρονογράφων, τιθέντων τὴν ἀκμὴν τοῦ Φερεκύδου κατὰ τὴν νθ' Ὀλυμπιάδα (ἑπομένως κατὰ τὸ ἔτος 540), τὴν δὲ γέννησιν αὐτοῦ κατὰ τὴν με' Ὀλυμπιάδα ἢ μᾶλλον κατὰ τὴν μθ' Ὀλυμπιάδα πρβ. **Rohde** ἐν **Rh. Mus.** 33, 205) καὶ παρεχόντων αὐτῷ ἡλικίαν 85 ἐτῶν (πρβ. **Zeller** *I*, 72 σημ. 1). Πάντα ταῦτα εἰσιν ὑποθέσεις καὶ ὑπολογισμοί, οὓς ἀδυνατοῦμεν ὑπολαβεῖν ὀρθούς. Ἀλλ' ὅμως ὁ πιθανὸς Ἀπολλοδώρειος ὁρισμὸς τῆς ἀκμῆς (τοῦ Φερεκύδου) κατὰ τὴν νθ' Ὀλυμπιάδα ὡς κατὰ προσέγγισιν χρονολογία φαίνεται οὐχὶ ἀνακριβής. Ἡμεῖς ὅμως κεκτήμεθα μέσον πρὸς ἀκριβέστερον ὁρισμὸν τοῦ χρόνου, ὅπερ διετέλει ἄγνωστον τοῖς ἀρχαίοις χρονολόγοις, τὴν σύγκρισιν δῆλον ὅτι τῆς δογματικῆς, ἥπερ μετὰ τῆς δεούσης προσοχῆς γενομένη ἄγει εἰς ἀλλοῖα βεβαιότερα συμπεράσματα. Διὰ τοῦ μέσου τούτου ἐξάγεται, ὅτι ὁ Φερεκύδης ἐξήρτηται οὐ μόνον ἀπὸ τῆς ἀρχαίας ὀρφικῆς ποιήσεως, ἧς ἀκριβὴς χρονολογικὸς ὁρισμός ἐστιν ἀδύνατος, ἀλλὰ καὶ ἀπὸ τῆς διδασκαλίας τοῦ Ἀναξιμάνδρου». Συνᾴδουσι δὲ οἱ λόγοι οὗτοι τοῦ **Diels** ἐν τοῖς καθ' ὅλου πρὸς τὰ ὑπὸ τοῦ **Conrad** *(p. 14)* ἐξ ἀρχαίων μαρτυρίων ἐκπυρηνισθέντα λέγοντος «ὅθεν συνεχρόνησε τῷ Θάλητι καὶ Ἀναξιμάνδρῳ, οὐ μὴν ἀλλὰ καὶ τῷ Ὀνομακρίτῳ, τῷ κορυφαίῳ τῶν Ὀρφικῶν, ἀλλ' ἦν νεώτερος μὲν τοῦ Θάλητος καὶ Ἀναξιμάνδρου τὴν ἡλικίαν, πρεσβύτερος δὲ τοῦ Ὀνομακρίτου». Τῆς γνώμης ταύτης τοῦ **Conrad**, ποιούσης τὸν Φερεκύδην ἀρχαιότερον τοῦ προσήκοντος, ἀφιστάμενοι ὀλίγον παραδεχόμεθα, ὡς εἴρηται ἀρκούντως ἐν τοῖς ἔμπροσθεν, τὸν Φερεκύδην κατά τι νεώτερον, ἐν δὲ τῇ

Πεντεμύχῳ ἴχνη τῆς ὀρφικῆς ποιήσεως, ὡς δειχθήσεται κατωτέρω. Συνομολογεῖ δὲ τούτοις καὶ ὁ Otto Gruppe *γράφων ἐν σελ.* 654 *τοῦ ἑαυτοῦ συγγράμματος* (**Die griechischen Culte und Mythen in ihren Beziehungen zu der orientalischen Religion** 1887) *τάδε «ὁ χρόνος τοῦ φιλοσόφου (Φερεκύδου) δηλοῦται μὲν παρὰ μόνοις τοῖς μεταγενεστέροις τῶν συγγραφέων, ἀλλ' ὅμως φαίνεται λίαν πιθανὸν τὸ ὑπ' αὐτῶν, καί περ ἐν τοῖς καθ' ἕκαστον διαφωνούντων, λεγόμενον, ὅτι ἀνήκει τῷ πρώτῳ ἡμίσει καὶ περὶ τὰ τέλη τῆς* 6 *ἑκατονταετηρίδος».*

Τοσαῦτα μὲν περὶ τῆς γεννήσεως τοῦ Φερεκύδου, μακρότερα μὲν ἴσως τοῦ δέοντος, ἀναγκαῖα δ' ὅμως πρὸς εὕρεσιν τοῦ πιθανοῦ, ὅπερ ἐπιτυγχάνει, νομίζομεν, ἡ ἔμπροσθεν ἐκτεθεῖσα ἡμετέρα γνώμη.

Τὸ δὲ ἔτος τῆς Ὀλυμπιάδος, καθ' ὃ ἐτελεύτησε Φερεκύδης ὁ Σύριος παρ' οὐδενὶ τῶν ἀρχαίων μνημονευόμενον εἴκασαν πολλοὶ ἐκ τοῦ ἐν τοῖς Μακροβίοις εἰρημένου χωρίου τοῦ Λουκιανοῦ, λέγοντος ὅτι Φερεκύδης ὁ Σύρος (= Σύριος) ἐβίω ἔτη 85. *Γεννηθεὶς τοίνυν περὶ τὴν με' Ὀλυμπιάδα ἐτελεύτησε κατὰ τὸ Λουκιάνειον χωρίον περὶ τὴν* 66 *Ὀλυμπιάδα. Σιγῶντες δὲ οἱ ἀρχαῖοι περὶ τοῦ ἔτους τοῦ θανάτου τοὐναντίον περὶ τοῦ εἴδους τῆς νόσου, ὑφ' ἧς ἐτελεύτησεν ὁ Φερεκύδης, μνημονεύουσι πολλὰ καὶ διάφορα, πάντα ἀνάξια πίστεως, ἀναγινωσκόμενα παρὰ Λαερτίῳ τῷ Διογένει* (Ι, 117: *φησὶ δὲ Ἕρμιππος πολέμου ἐφεστῶτος Ἐφεσίοις καὶ Μάγνησι βουλόμενον (τὸν Φερεκύδην) τοὺς Ἐφεσίους νικῆσαι πυθέσθαι τινὸς παριόντος πόθεν· τοῦ δε εἰπόντος, ἐξ Ἐφέσου, ἕλκυσόν με τοίνυν, ἔφη, τῶν σκελῶν καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν καὶ ἀπάγγειλόν σου τοῖς πολίταις μετὰ τὸ νικῆσαι αὐτόθι με θάψαι . . . ὁ μὲν οὖν ἀπήγγειλεν· ὁ δὲ μετὰ μίαν ἐπελθόντος κρατοῦσι τῶν Μαγνήτων καὶ τόν τε Φερεκύδην μεταλλάξαντα θάπτουσιν αὐτόθι καὶ μεγαλοπρεπῶς τιμῶσιν. Ἔνιοι δέ φασιν ἐλθόντα εἰς Δελφοὺς ἀπὸ τοῦ Κωρυκείου ὄρους αὐτὸν δισκεῦσαι. Ἀριστόξενος δὲ ἐν τῷ περὶ Πυθαγόρου καὶ τῷ περὶ τῶν γνωρίμων αὐτοῦ φησι νοσήσαντα αὐτὸν ὑπὸ Πυθαγόρου ταφῆναι ἐν Δήλῳ, οἱ δὲ φθειριάσαντα τὸν βίον τελευτῆσαι· ὅτε καὶ Πυθαγόρου παραγενομένου καὶ πυνθανομένου πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν χρῷ δῆλα (ἤτοι ἡ ὑγιεία ἐμοῦ πῶς ἔχει ἀρκούντως δηλοῖ τὸ δέρμα γυμνὸν κρέατος ὑπὸ τῆς φθειριάσεως). Καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλοσόφοις ἡ λέξις (ὡς παροιμία) ἐπὶ τῶν χειρόνων τάττεται· οἱ δὲ ἐπὶ τῶν βελτιόνων χρώμε-*

*νοι διαμαρτάνουσιν». Παρὰ Πλουτάρχῳ β. Πελοπίδου XXI μνημονεύεται ὑπὸ τῶν μάντεων, ὅτι ὑπὲρ τῆς πολιτείας τῶν Σπαρτιατῶν φονευθέντος τοῦ Φερεκύδου τὸ δέρμα αὐτοῦ ἐφυλάττετο ὑπὸ τῶν βασιλέων κατά τινα χρησμὸν (ὁ δὲ Πελοπίδας ἐν τῷ στρατοπέδῳ κατακοιμηθεὶς ἔδοξε τάς τε παῖδας ὁρᾶν περὶ τὰ μνήματα θρηνούσας καὶ καταρωμένας τοῖς Σπαρτιάταις, τόν τε Σκέδασον κελεύοντα ταῖς κόραις σφαγιάσαι παρθένον ξανθήν, εἰ βούλοιτο τῶν πολεμίων ἐπικρατῆσαι. Δεινοῦ δὲ καὶ παρανόμου τοῦ προστάγματος αὐτῷ φανέντος ἐξαναστὰς ἐκοινοῦντο τοῖς τε μάντεσι καὶ τοῖς ἄρχουσιν· ὧν οἱ μὲν οὐκ εἴων παραμελεῖν οὐδ᾽ ἀπειθεῖν, τῶν μὲν παλαιῶν προφέροντες Μενοικέα τὸν Κρέοντος καὶ Μακαρίαν τὴν Ἡρακλέους, τῶν δὲ ὕστερον Φερεκύδην τε τὸν σοφὸν ὑπὸ Λακεδαιμονίων ἀναιρεθέντα καὶ τὴν δορὰν αὐτοῦ κατά τι λόγιον ὑπὸ τῶν βασιλέων φρουρουμένην..). Ἀλλαχοῦ ὅμως ὁ Πλούταρχος (β. Σύλλα XXXVI) μνημονεύων τὴν νόσον (φθειρίασιν) τοῦ Σύλλα προϊὼν γράφει: Λέγεται δὲ τῶν μὲν πάνυ παλαιῶν Ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι, τῶν δὲ ὑστέρων Ἀλκμᾶνα τὸν μελοποιὸν καὶ Φερεκύδην τὸν Θεολόγον καὶ Καλλισθένη τὸν Ὀλύνθιον ἐν εἱρκτῇ φρουρούμενον, ἔτι δὲ Μούκιον τὸν νομικόν. Εἰ δὲ δεῖ καὶ τῶν ἀπ᾽ οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δὲ ἄλλως ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην, Εὔνουν ὄνομα, μετὰ τὴν ἅλωσιν εἰς Ρώμην ἀγόμενον ὑπὸ φθειριάσεως ἀποθανεῖν». Ὁ Πλίνιος (H. N. 7, 51) καὶ ὁ Ἀπουλήιος (**Florid. p. 351** κἑ **Elmenhorst**) λέγουσιν ὅτι ὁ Φερεκύδης ἀπέθανεν ὑπὸ πλήθους ἑρπετῶν ζωυφίων ἐξελθόντων ἐκ τοῦ σώματος αὐτοῦ, ἅτε τῶν φθειρῶν καλουμένων καὶ ἑρπετῶν (Διοδ. Σικελ. 3, 29). Αἱ φθεῖρες κατὰ τὸν **Kuhnius** εἰς Αἰλιανὸν (Π. ἱ. 4, 28) εἰσὶ σκώληκες γεννώμενοι ἐκ τῆς πεπηγυίας ἀκαθαρσίας μεταξὺ δέρματος καὶ τριχῶν. Παρὰ πᾶσι τοῖς ἀνθρώποις καὶ κατὰ πάντας τοὺς χρόνους ὑπάρχει ἡ δόξα, ὅτι οἱ δυσσεβεῖς κακοὶ κακῶς ἀπόλλυνται δειναῖς ἀσθενείαις, οὐχ ἥκιστα δὲ τῇ φθειριάσει. Οὕτω περὶ Φερετίμας, γυναικὸς βιαιοτάτης καὶ ὠμοτάτης λέγει ὁ Ἡρόδοτος (4, 205) ὅτι «ἀπέθανε κακῶς· ζῶσα γὰρ εὐλέων ἐξέζεσε, ὡς ἄρα ἀνθρώποισι αἱ λίαν ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται». Ἐπειδὴ δέ, καὶ τοῦ Παυσανίου λέγοντος (9, 33· σελ. 772) πλὴν τοῦ Πλουτάρχου, ὅτι ὁ Σύλλας ἐτελεύτησε φθειριάσει διδοὺς ποινὰς τοῖς θεοῖς τῆς Ἑλλάδος, ὧν τοὺς ναοὺς ἐσύλησε, πολλῷ*

ὀρθότερον ὁ Ἀππιανὸς (ἐμφυλ. I σελ. 603) ποιεῖται μνείαν μόνον τοῦ πυρετοῦ, ὑφ' οὗ ἀπέθανεν ὁ δικτάτωρ, ἐπειδὴ καὶ Ἀντίοχος ὁ ἐπιφανὴς λεγόμενος ἀποθανεῖν κατὰ τὸν αὐτὸν τρόπον (πρβ. Μακκαβ. II, 9, 9 ὥστε ἐκ τοῦ σώματος σκώληκας ἀναζῆν) παρίσταται πάλιν κατὰ τὸν Ἀππιανὸν (Συριακ. σελ. 212) τελευτήσας φθίνων, διὰ ταῦτα ὁ Sturz ὑπολαμβάνων, ὅτι ἡ περιγραφὴ ἀσθενείας τινὸς ἐν τῷ ὑποβολιμαίῳ βιβλίῳ τοῦ Ἱπποκράτους[8] (ἐπιδημ, 7, 101 σελ. 586) ἀνάγεται εἰς τὴν ἀσθένειαν τοῦ Φερεκύδου λέγει ὅτι ὁ Ἱπποκράτης (ῥητέον μαθητής τις τῆς Ἱπποκρατείου Σχολῆς) ἠδύνατο διακρῖναι τὴν νόσον αὐτοῦ ἐκ τῶν ἐν τῷ ναῷ τοῦ Κῴου Ἀσκληπιοῦ διαφυλαττομένων πινάκων, ἐν οἷς εἴθιστο ἀναγράφεσθαι, οὐ μόνον τοὺς ἀπαλλαττομένους τῶν νόσων καὶ τὰ πρὸς ἀπαλλαγὴν χρήσιμα μέσα, ὅπως ἐν ὁμοίαις ἀσθενείαις γίνηται χρῆσις αὐτῶν (Πλιν. Η. Ν. 29, 1), ἀλλὰ καὶ τοιαῦται ἀσθένειαι ἐμνημονεύοντο ἐν τοῖς πίναξιν, ὧν ἡ ἴασις διέμεινεν ἀνεύρετος, οἱ δὲ ἀσθενεῖς ἐτελεύτων. Ἐπειδὴ δὲ καὶ παρ' Αἰλιανῷ (Π ἱ. 5, 2) ἀναγινώσκονταί τινα ἀναμιγνήσκοντα τὰ παρ' Ἱπποκράτει περὶ τῆς ἀσθενείας τοῦ Φερεκύδου, ἐπειδὴ ὁ Ἀριστόξενος παρὰ Διογένει μνημονεύει ἁπλῆν, ὡς εἴδομεν, νόσον τοῦ Φερεκύδου, ἐπειδὴ τέλος καὶ ὁ Διόδωρος ὁ Σικελιώτης (ἀποσπ. σελ. 242 Val.) λέγων, ὅτι ὁ Πυθαγόρας προσῆλθεν εἰς τὸν Φερεκύδην ἀκούσας ὅτι «νοσεῖ καὶ τελέως ἐσχάτως ἔχει», εἶτα μνημονεύει ἁπλῶς τὴν λέξιν «νόσος», ὑφ' ἧς ὁ Φερεκύδης διὰ γῆρας ἀπέθανεν, διὰ ταῦτα εἰκάζει ὁ Sturz, ὅτι ἡ νόσος τοῦ Φερεκύδου οὐδὲν ἄλλο ἦν ἢ ὁ παρὰ τοῖς τοῖς νῦν ἰατροῖς καλούμενος febris petechialis, ἐξανθη-

---

8) Ἤδη ὁ Γαληνὸς (ἐν προλόγῳ τῶν ὑπομνημάτων I εἰς τὸ ἕκτον βιβλίον τῶν ἐπιδημιῶν καὶ περὶ δυσπνοίας 2, 7 καὶ 3, 1) ἀπεφήνατο τὴν νοθείαν τοῦ Ἱπποκρατείου βιβλίου. Ὡσαύτως δὲ καὶ τὸ περὶ ὑγιεινῆς διαίτης βιβλίον τοῦ Ἱπποκράτους κατὰ τὸν Γαληνὸν (ἐν Ἱπποκρ. ἀφορ. 6, I σελ. 248 B) ὑπό τινων μὲν προσενέμετο τῷ Ἱπποκράτει, ὑπὸ ἑτέρων δὲ οὐχί, ὁμολογούντων συγγραφέα αὐτοῦ τῶν μὲν τὸν Φιλιστίωνα, τῶν δὲ τὸν Ἀριστίωνα καὶ ἄλλων τὸν Φερεκύδην. Κατὰ τὸν Sturz (p. 30) φαίνεται ὅτι ὁ Γαληνὸς ἐνόει ἕτερον Φερεκύδην γράψαντα κατὰ τὸν Συρανὸν (ἐν βίῳ Ἱπποκρ. προταχθέντων τῶν ἔργων αὐτοῦ παρὰ Gharter τομ. I. p. 1 A) γενεαλογίαν τοῦ Ἱπποκράτους· ἴσως δὲ καὶ τὴν ἐν ταῖς ἐπιδημίαις περιγραφὴν τῆς ἀσθενείας τοῦ Φερεκύδου συνέταξεν οὗτος ὁ Φερεκύδης ἢ ἄλλος τις τῆς Ἱπποκρατείου Σχολῆς.

*ματικὸς πυρετὸς μετὰ φθίσεως, οἱ δὲ μεταγενέστεροι τὰ τοῦ ὑπὸ τὰς τρίχας ἐξῳδηκότος δέρματος στίγματα, τουτέστι τὰς ἐμφερεῖς τοῖς τῶν κωνώπων δήγμασι κηλῖδας (**petechiae**) τὸν ἐξανθηματικὸν πυρετὸν (τὸ δέρμα δὲ τὸ ὑπὸ τὰς τρίχας ἐστιγμένον . . . ὡς ὑπὸ κωνώπων ἀναδήγματα λέγει ὁ Ψευδοϊπποκράτης) μετέβαλον εἰς φθειρίασιν. Πλασθέντων δὲ τούτων, ἀνεφάνη εἶτα ἕτερος σκευωρήσας καὶ τὴν παρὰ Διογένει φερομένην μιξοβάρβαρον*[9] *ἐπιστολὴν τοῦ Φερεκύδου, ἣν πρῶτος ὁ Σαλμάσιος σελ.* 844 *Α ἀπεδοκίμασεν. Ἔπλασαν δὲ οἱ μεγαγενέστεροι καὶ τὴν αἰτίαν δι' ἣν ὁ Φερεκύδης ἐτελεύτησε φθειριάσει. Κατὰ τὸν Αἰλιανὸν (Π. ἱ.* 4, 28) *οἱ Δήλιοι ἔλεγον, ὅτι ὁ Ἀπόλλων χολωθεὶς ἔπεμψε τὴν κακὴν ταύτην νόσον εἰς τὸν Φερεκύδην εἰπόντα ποτὲ τοῖς ἑαυτοῦ μαθηταῖς ἄλλας τε πολλὰς ὑψηλολογίας καὶ δὴ καὶ ταύτην, ὅτι αὐτὸς καίπερ οὐδενὶ θεῷ θύων ὅμως οὐχὶ χεῖρον ζῇ τῶν θυόντων ἑκατόμβας· ὡς συγγραφεὺς ἰδίας θεογονίας, ὡς θεολόγος οὐδαμῶς ἠδύνατο ὁ Φερεκύδης λέγειν περὶ θεῶν τοιαῦτα, οἷα ἱστορεῖ ὁ Αἰλιανός. Νομίζων ἑαυτὸν προφήτην καὶ μάντιν καὶ μετεωριζόμενος διὰ τῆς φαντασίας αὐτοῦ εἰς ὑπεργείους χώρους ἔλεγεν ὅτι ἐκοινώνει, ὥσπερ ὁ Ἐπιμενίδης, τοῖς θεοῖς, ὡς μαρτυρεῖ ὁ Θεόπομπος παρὰ Διογένει Λαερτίῳ Ι,* 117 : *Καὶ Λακεδαιμονίοις εἰπεῖν (τὸν Φερεκύδην) μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν τοῖς θαυμασίοις· προστάξαι δὲ αὐτῷ ὄναρ τοῦτο τὸν Ἡρακλέα· ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι· ἔνιοι δὲ Πυθαγόρᾳ ταῦτα περιάπτουσιν. Ὁ* **Heinius** *σελ.* 316 *οὐ μόνον τὴν διήγησιν ταύτην, ἀλλὰ καὶ τὸ παρὰ Πλουτάρχῳ (β. Πελοπίδου* 289 *Α) ἱστορούμενον περὶ διαφυλάξεως τῆς δορᾶς αὐτοῦ ἐν Σπάρτῃ ὑπολαμβάνει ἀνακτέον εἰς ἄλλον τινὰ ἄγνωστον ἡμῖν Φερεκύδην, ἅτε οὐδαμόθεν μαρτυρουμένου, ὅτι ὁ ἡμέτερος ἦν ποτε ἐν Σπάρτῃ. Ἡ παραδοχὴ παρὰ τῷ Πλουτάρχῳ ἑτέρου Φερεκύδου ἢ τοῦ ἡμετέρου ἀπορριπτέα ἕνεκα τῆς παρὰ τῷ Πλουτάρχῳ λέξεως* σοφός. *Τὰ περὶ χρυσοῦ καὶ ἀργύρου εἶπεν ὁ Φερεκύδης ὑπὲρ τῆς τηρήσεως τῶν νόμων τοῦ Λυκούργου, συγχωροῦντος τοῖς Σπαρτιάταις μόνον σιδηρῶν νομισμάτων τὴν χρῆσιν (Ξενοφ. Λακεδ. πολιτ.* 7, 5 *πρβ. καὶ Πλουτάρχου Ἄγιδ. καὶ Κλεομ.* 10 *ἐπεὶ Τέρπανδρόν*

---

9) Καταφαίνεται τοῦτο ἐκ μιᾶς μόνης λέξεως ἐν τῇ ρήσει «[illegible]ος καταλελάβηκε».

τε καὶ *Θάλητα* καὶ *Φερεκύδην* ξένους ὄντας, ὅτι τὰ αὐτὰ τῷ *Λυκούργῳ* διετέλουν ᾄδοντες καὶ φιλοσοφοῦντες, ἐν *Σπάρτῃ* τιμηθῆναι διαφερόντως.) Τὸ δὲ περὶ δορᾶς ἱστορούμενον ἀναμιμνήσκει τὸ δέρμα τοῦ *Ἐπιμενίδου*, φυλαττόμενον ὡσαύτως ἐν *Σπάρτῃ*, ὑποκειμένης ὡς βάσεως ἀρχαίου συγγράμματος περὶ ἐξαγνισμοῦ καὶ καθαρμοῦ· πρβ. *Nitzsch de historia Homeri* p. 161 κἑ καὶ *Στέφανον Βυζάντιον* ἐν λ. *Ἄνθωνα*—ὃν Κλεομένης ὁ *Λεωνίδου* ἀδελφὸς ἀνελὼν καὶ ἐκδείρας ἔγραψεν ἐν τῷ δέρματι τοὺς χρησμοὺς τηρεῖσθαι[10]. Κοινωνῶν τοίνυν ὁ *Φερεκύδης* τοῖς θεοῖς ἐγίνωσκε καὶ τὴν τροφὴν καὶ τὴν γλῶσσαν αὐτῶν (*Πλουτ.* περὶ τοῦ ἐμφαινομένου προσώπου τῷ κύκλῳ τῆς σελήνης σελ. 938 B) ἔλεγέ τε κατὰ τὸν *Λ. Διογ.* I, 119 ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν[11]. Ὁ *Θεόπομπος* παρὰ *Διογένει* τῷ *Λαερτίῳ* (I. 116) ἱστορεῖ καὶ ἕτερα περὶ *Φερεκύδου* θαυμάσια λέγων: Καὶ γὰρ παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατοῦντα καὶ ναῦν οὐριοδρομοῦσαν ἰδόντα εἰπεῖν ὡς μετ' οὐ πολὺ καταδύσεσθαι· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι· καὶ ἀνιμηθέντος ἐκ φρέατος ὕδατος πιόντα προειπεῖν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμὸς καὶ γενέσθαι[12]. Ἀνιόντα τε εἰς Ὀλυμπίαν εἰς Μεσσήνην τῷ ξένῳ Περιλάῳ συμβουλεῦσαι μετοικῆσαι μετὰ τῶν οἰκείων, καὶ τὸν μὲν πεισθῆναι, Μεσσήνην δὲ ἑαλωκέναι. Ἀλλ' ὅμως ὁ *Πορφύριος* παρ' *Εὐσεβίῳ* (εὐαγ. προπ. 10, 3. σελ. 464 κἑ) διδάσκει, ὅτι πᾶσαι αὗται αἱ προρρήσεις ἀνάγονται εἰς *Πυθαγόραν*, ὑπὸ δὲ τοῦ *Θεοπόμπου* κλαπεῖσαι ἀνηνέχθησαν εἰς *Φερεκύδην*, μεταβαλόντος καὶ τὰ ὀνόματα τῶν τόπων,

---

10) Ὅτι δὲ αἱ ποιήσεις τοῦ Ἐπιμενίδου γεγραμμέναι ἐπὶ δέρματος ἐφυλάττοντο ἐν Σπάρτῃ ἢ ἀλλαχοῦ, τοῦτο προῆλθεν ἐκ τῆς παροιμίας «Ἐπιμενίδειον δέρμα» τῆς καὶ ἐν ὑστέροις χρόνοις οὔσης ἐν χρήσει περὶ πραγμάτων παλαιῶν καὶ θαυμασίων. Πρβ. ***Bode, Geschichte der hellenischen Dichtkunst I p. 348.***

11) Πρβ. καὶ Σουίδαν: θυωρός· κυρίως ἡ Ἱερὰ τράπεζα· ἔλεγε Φερεκύδης, ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν.

12) Ποῦ τοῦτο ἐγένετο οὐ λέγει ὁ Διογένης· ὁ Ἀπολλώνιος Δύσκολος (κ. 5. θαυμασίων ἱστοριῶν) ἀναγράφει τὴν Σύρον, ὁ δὲ Μάξιμος Τύριος τὴν Σάμον (ὁμιλ. 19, 5· αὐχμοὺς καὶ ἐπομβρίας καὶ σεισμοὺς γῆς καὶ πυρὸς ἐκβολὰς ὁ θεὸς οἶδε μόνος, ἀλλὰ καὶ ἀνθρώπων ὅσοι δαιμόνιοι· οὕτω καὶ Φερεκύδης σεισμὸν Σαμίοις προεμήνυσεν).

προσθέντος δὲ ἐξ ἰδίων καὶ τὸ τοῦ ξενοδόχου Περιλάου, ὅπως ἀποκρύψῃ τὴν εἰς Ἄνδρωνα τὸν Ἐφέσιον διαπραχθεῖσαν κλοπήν. Κατὰ γὰρ Ἄνδρωνα ἐν τῷ περὶ τρίποδος προεῖπεν ὁ Πυθαγόρας, οὐχὶ δὲ ὁ Φερεκύδης τὴν κατάδυσιν τοῦ πλοίου καὶ δὴ ἐν τοῖς Σικελικοῖς Μεγάροις, οὐχὶ δὲ ἐν Σάμῳ, τὸν σεισμὸν τῆς γῆς οὐχὶ ἐν Σύρῳ, ἀλλ' ἐν Μεταποντίῳ, τὴν ἐκπολιόρκησιν οὐχὶ τῆς Μεσσήνης, ἀλλὰ τῆς Συβάρεως.

Διὰ τοιούτων μυθοπλαστιῶν ἀρθεὶς ὁ Φερεκύδης εἰς μέγα κλέος[13] *συνάπτεται παρὰ τοῖς μεταγενεστέροις τῷ Θάλητι καὶ Πυθαγόρᾳ καὶ Ἀναξιμάνδρῳ καὶ Πλάτωνι καὶ Σωκράτει καὶ τοῖς ἑπτὰ σοφοῖς* (*Θεμιστοκλ. λογ* 2. *σελ.* 38 *Α Κλημ. Ἀλεξ. Στρωμ.* 6, *σελ.* 643, I, *σελ.* 299 *Δ*, *Ὠριγ. κατὰ Κέλ.* 4, *σελ.* 223. 227. 228), *κατὰ δὲ τὸν Τερτυλλιανὸν de anima p.* 641 *ἐνομίζετο καὶ θεός. Μᾶλλον δὲ ἀληθείας μετέχοντα φαίνονται ἐκ πρώτης ὄψεως δύο ἐπινοήσεις τοῦ Φερεκύδου, ἃς μνημονεύει ὁ Σουίδας λέγων: Πρῶτον δὲ συγγραφὴν ἐξενεγκεῖν πεζῷ λόγῳ τινὲς ἱστοροῦσι, ἑτέρων τοῦτο εἰς Κάδμον τὸν Μιλήσιον φερόντων· καὶ πρῶτον τὸν περὶ μετεμψυχώσεως λόγον εἰσηγήσασθαι. Καὶ παρὰ Λαερτίῳ ἀναγινώσκεται* I, 116: *Τοῦτόν φησιν Θεόπομπος πρῶτον περὶ φύσεως καὶ θεῶν Ἕλλησι γράψαι» ἔνθα συνήθως ἐννοεῖται καταλογάδην. Τούτοις προσθετέον τὸν Πλίνιον* (*H. N.* 7, 5) ***prosam orationem condere Pherecydes Syrius instituit**, τὸν*

---

13) Τὴν αἰτίαν τῆς μνημονευομένης ἀστρονομίας τοῦ Φερεκύδου ὑπὸ τοῦ Ἰωσήπου (κατὰ Ἀπίωνος 1 σελ. 1034 Ε: Τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' Ἕλλησι φιλοσοφήσαντας, οἷον Φερεκύδην τὸν Σύριον, καὶ Πυθαγόραν καὶ Θάλητα πάντες συμφώνως ὁμολογοῦσιν Αἰγυπτίων καὶ Χαλδαίων γενομένους μαθητάς..), Χριστοδώρου Κοπτίτου (στ. 551 κέ ἐν ***Brunckanall.*** τόμ. II ***p.*** 469: Καὶ Σύριος σελάγιζε σαοφροσύνῃ Φερεκύδης· /ἱστάμενος σοφίης δὲ θεουδέα κέντρα νομεύων/ οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων) καὶ ὑπὸ ἄλλων ἐπήγαγε τὸ ἐν τῇ νήσῳ Σύρῳ ἡλιοτρόπιον ἤτοι σπήλαιον, δι' οὗ ἠδύνατό τις παρατηρεῖν τὴν σκιὰν καὶ τὴν ἡλίου τροπὴν (Λαερτ. I, 119 σῴζεται δὲ καὶ ἡλιοτρόπιον ἐν Σύρᾳ τῇ νήσῳ). Εἰ καὶ τὸ σπήλαιον τοῦτο ἦν ἔργον τῆς φύσεως (Ὁμηρ. Ὀδυσ. Ο, 492 κέ), ἀλλ' ὅμως ἡ χρῆσις αὐτοῦ ἴσως ἐδείχθη ὑπὸ τοῦ Φερεκύδου ποιήσαντος αὐτὸ πρόσφορον εἰς τοιαύτην χρῆσιν, ὥσπερ ἐμφερές τι μνημονεύεται περὶ Ἀναξιμάνδρου, τοῦ μεγάλου μαθητοῦ τοῦ Θάλητος (Πλιν. H. N. 2, 8).

Στράβωνα (1, σελ. 18 *Α. Β*)· *πρώτιστα ἡ ποιητικὴ κατασκευὴ παρῆλθεν εἰς τὸ μέσον καὶ εὐδοκίμησεν· εἶτα ἐκείνην μιμούμενοι, λύσαντες τὸ μέτρον, τἆλλα δὲ φυλάξαντες τὰ ποιητικὰ συνέγραψαν οἱ περὶ Κάδμον καὶ Φερεκύδην καὶ Ἑκαταῖον*. Ἀλλαχοῦ ὅμως τοῦ *Πλινίου*, (*H. N.* 5, 29) *συνήθει παρ' αὐτῷ, μετάγοντι ἐκ διαφόρων πηγῶν, σφάλματι τῆς μνήμης, ἀνακηρύττοντος Κάδμον τὸν Μιλήσιον ὡς εἰσηγητὴν τοῦ πεζοῦ λόγου, ἀποδέχεται ὁ Sturz ὅτι ὁ Κάδμος ἢ ἄλλος τις εἰσηγήσατο πρῶτος ἐν τῇ ἱστοριογραφίᾳ τὸν πεζὸν λόγον, ὁ δὲ Φερεκύδης ἐν τῇ φιλοσοφίᾳ. Ἡ ἐξήγησις ὅμως αὕτη τοῦ Sturz καταδείκνυται ἀπίθανος ἐκ τῶν γραφέντων ὑπὸ τοῦ Diels ἐν σελ.* 14 *τοῦ εἰρημένου συγγράμματος, ἅπερ κρίνομεν παραθέσεως ἄξια. «Ἡ ἐξάρτησις αὕτη τοῦ Φερεκύδου καὶ γλωσσικῶς ἐξεταζομένη ἐστὶ σπουδαία· ἄνευ γὰρ τοῦ τολμηροῦ παραδείγματος τοῦ Ἀναξιμάνδρου, προενεγκόντος πρώτου τὰς ἀληθείας αὐτοῦ ἐν πεζῷ λόγῳ, βεβαίως πεζῷ λόγῳ διηνθισμένῳ ποιητικαῖς ἰδέαις, οὐδέποτε ἐπήρχετο ἂν κοσμολόγῳ καταλιπεῖν τὴν συνήθη μορφὴν τῆς διδακτικῆς τοῦ Ἡσιόδου ποιήσεως, ἣν ὁ σύγχρονος Ξενοφάνης καὶ οἱ ἀπ' αὐτοῦ ἐξαρτώμενοι Παρμενίδης καὶ Ἐμπεδοκλῆς διεφύλαξαν. Αἱ εἰδήσεις αἱ μνημονεύουσαι τὸν Φερεκύδην ὡς τὸν πρῶτον δημιουργὸν καὶ εἰσηγητὴν τοῦ πεζοῦ λόγου οὖσαι ἀβάσιμοι ἐπερείδονται ἐπὶ τῆς ἀορίστου καὶ γενικῆς ῥήσεως τοῦ Θεοπόμπου* (*πρβ Λ. Διογ. Ι*, 116)» *τοῦτον πρῶτον περὶ φύσεως καὶ θεῶν Ἕλλησι γράψαι, δηλαδὴ καταλογάδην. Τοῦτο ἔχει ὀρθῶς ἐκλαμβανομένης τῆς ῥήσεως «φύσεως καὶ θεῶν» ὡς ἓν διὰ δυεῖν =τῷ φυσικὴ θεολογία ἤτοι ὅτι πρῶτος ὁ Φερεκύδης ἔγραψε περὶ θεολογίας. Ἐὰν ὅμως ὁ Θεόπομπος ἔθηκε τὴν Φερεκύδειον βίβλον πρὸ τῆς τοῦ Ἀναξιμάνδρου, παρήχθη εἰς ψευδῆ κρίσιν ἕνεκα τοῦ ἐξεζητημένου ἀρχαϊκοῦ ὕφους τοῦ Φερεκύδου· οὐδὲν γὰρ αὐθεντικὸν ἐγινώσκετο πλέον περὶ τοῦ δαιμονίου Φερεκύδου κατὰ τὴν τετάρτην π. Χ. ἑκατονταετηρίδα». Τούτων οὕτως ἐχόντων, ὁ Φερεκύδης μὴ ἐπινοήσας πρῶτος τὸν πεζὸν λόγον, ἀλλὰ καταλεγόμενος ἐν ἐκείνοις, οἵτινες ἐν ἀρχῇ πρῶτοι ἐχρήσαντο τῷ πεζῷ λόγῳ, ἐγένετο ὕστερον εἰσηγητὴς καὶ δημιουργὸς αὐτοῦ.*

Ἡ δευτέρα ἐπινόησις τοῦ Φερεκύδου λέγεται τὸ περὶ μετεμψυχώσεως δόγμα· πόσον ἀνυπόστατος ὅμως ἐστὶν ὁ ἰσχυρισμὸς οὗτος καταφαίνεται ἔκ τε τῶν ἐν ἀρχῇ τῆς ἡμετέρας πραγματείας εἰρημένων καὶ τῶν εὐθὺς ἐφεξῆς ῥηθησομένων. Ἡ περὶ μετεμψυχώσεως διδασκαλία φαίνεται ὅτι ὑπῆρχεν οὐχὶ ἐν πᾶσιν, ἀλλ' ἐν μόνοις τοῖς βακ-

χικοῖς καὶ ὀρφικοῖς μυστηρίοις. Τὰ ἐλευσίνια ἑορτὴ τῶν χθονίων θεοτήτων ἦσαν λίαν σπουδαῖα κατὰ τὴν μετὰ θάνατον κατάστασιν, ἤδη δὲ ὁ εἰς Δήμητρα ὕμνος[14] *ποιεῖται λόγον περὶ τῆς ἐν τῷ Ἅδῃ τύχης τῶν μεμυημένων καὶ ἀμυήτων,* (*Lobeck Aglaophanus I,* 69 *κέ*), *ἀλλὰ περὶ μετεμψυχώσεως οὐδεὶς ἐνταῦθα γίνεται λόγος. Πλὴν τοῦ Σουίδα καὶ Λαερτίου καὶ ἄλλοι συγγραφεῖς ὀνομάζουσι τὸν Φερεκύδην, ὅστις πρῶτος ἐδίδαξε τὴν ἀθανασίαν μᾶλλον δὲ τὴν μετεμψύχωσιν, ἀλλ' ὅμως ἡ εἴδησις αὕτη οὐκ ἀποδείκνυται διὰ μόνης τῆς μαρτυρίας τοῦ Κικέρωνος (Tusc. I, 16, 38), τοῦ Λακταντίου (Institut. VII, 7. 8.), Αὐγουστίνου (c. Acad. III,37* (17)*)· epist. 137 σελ. 407 B. Maur) καὶ ἄλλων μεταγενεστέρων συγγραφέων, οὐδὲν περὶ αὐτῆς λεγόντων παρὰ Διογένει τῶν ἀρχαιοτέρων, οἷον Ἀριστοξένου, Δούρεως καὶ Ἑρμίππου. Ἔτι ἀπιθανωτέρα φαίνεται ἡ εἴδησις* (*Μαξ. Τυρ.* 16, 2 *Διογ. Λαερτ. VIII,* 14. *Πορφυρ. β. Πυθ.* 19), *καθ' ἣν ὁ Πυθαγόρας ἐπενόησεν αὐτήν· κατὰ τὸν Ἡρόδοτον*[15] *ἤχθη, λέγει ὁ Zeller I, 57 κέ, ἡ περὶ μετεμψυχώσεως διδασκαλία τοῖς ὀρφικοῖς ἐκ τῆς Αἰγύπτου· ἀλλ' ὁ ἰσχυρισμὸς οὗτος ἤ ἐστιν εἰκασία τοῦ Ἡροδότου ἢ ἄλογος ἰσχυρισμὸς τῶν ἐν Αἰγύπτῳ*

---

14) Στχ. 480 κέ : Ὄλβιος ὃς τάδ' ὄπωπεν ἐπιχθονίων ἀνθρώπων·
ὃς δ' ἀτελὴς Ἱερῶν, ὅς τ' ἔμμορος, οὔποθ' ὁμοίην
αἶσαν ἔχει, φθίμενός περ, ὑπὸ ζόφῳ εὐρώεντι.

15) Ἡροδ. II, 123 πρῶτον δὲ καὶ τοῦτον τὸν λόγον Αἰγύπτιοί εἰσιν οἱ εἰπόντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι, τοῦ σώματος δὲ καταφθίνοντος ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ πετεινά, αὖτις ἐξ ἀνθρώπου σῶμα γινόμενον ἐσδύνειν, τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. τούτῳ τῷ λόγῳ εἰσὶ οἳ ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑαυτῶν ὄντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα οὐ γράφω. «Ὥςπερ δὲ πιθανόν ἐστι, ὅτι ὁ Ἡρόδοτος διὰ τῆς ρήσεως «οἱ δὲ ὕστερον» ἐννοεῖ τὸν Πυθαγόραν, οὕτω κατὰ πιθανώτερον λόγον διὰ τῆς ἑτέρας ρήσεως «οἱ μὲν πρότερον» ἐννοεῖ τὸν Μελάμποδα καὶ τοὺς μετ' αὐτὸν ὀρφικοὺς πολλῷ ἀρχαιοτέρους τοῦ Πυθαγόρου. Οὗτος ὁ Μελάμπους κατὰ τὸν Ἡρόδ. (II 49) σύγχρονος τοῦ Κάδμου εἰσήγαγεν εἰς Ἑλλάδα καὶ τὴν λατρείαν τοῦ Διονύσου μαθὼν αὐτὴν παρὰ τοῦ Τυρίου Κάδμου καὶ τῶν σὺν αὐτῷ ἐκ Φοινίκης εἰς Βοιωτίαν ἀφικομένων. Πρβ. *Zeller* I⁴ , 57, 280.

Ἱερέων. Ἴσως ὁ Ἡρόδοτος ἐπέτυχε τὸ ὀρθὸν καὶ ἀληθῶς μετέβη ἐξ Αἰγύπτου ἡ περὶ μετεμψυχώσεως ἰδέα, οὐχὶ ὅμως ἐν ἀρχῇ τῆς ἑλληνικῆς παιδείας καὶ ὥσπερ λέγει ὁ Ἡρόδοτος ἐπὶ τῶν μυθικῶν χρόνων τοῦ Κάδμου καὶ Μελάμποδος, ἀλλὰ κατὰ τὴν 7 ἑκατονταετηρίδα οὐ πολὺ πρὸ τῶν χρόνων, καθ' οὓς ἀπαντᾷ κατὰ πρῶτον· ἐνδέχεται ἡ ἰδέα αὕτη, ἧς ἡ συγγένεια πρὸς ἰνδικὰς καὶ αἰγυπτιακὰς διδασκαλίας μηνύει ἀνατολικὴν καταγωγήν, μεταβῆναι ἐν τῇ μεταναστάσει τοῦ ἑλληνικοῦ λαοῦ ἐκ τῆς Ἀσίας, κατ' ἀρχὰς μὲν περιεπομένη ἐν στενῷ κύκλῳ Ἱερέων, ὕστερον δὲ διαδοθεῖσα. Ἐπὶ τέλους δὲ ἡ πίστις αὕτη ἐνδέχεται γεννηθῆναι ἀφ' ἑαυτῆς παρὰ τοῖς ἀνθρώποις. Τούτων οὕτως ἐχόντων, φαίνεται, ὅτι τῆς ἰδέας ταύτης γνωστῆς οὔσης ἐν τοῖς μυστηρίοις καὶ διαδοθείσης εἶτα διὰ τῆς τοῦ Φερεκύδου διδασκαλίας, ἐνομίσθη ὁ Σύριος εἰσηγητὴς καὶ δὴ καὶ εὑρετὴς τοῦ περὶ μετεμψυχώσεως δόγματος, ὥσπερ καὶ ἡ Ἀμερικὴ καίπερ ὑπὸ τοῦ περιωνύμου Κολόμβου ἀνακαλυφθεῖσα φέρει νῦν οὐχὶ τὸ ὄνομα αὐτοῦ, ἀλλὰ τὸ τοῦ Ἀμερίκου, τοῦ εὐτυχεστέρου τοῦ Κολόμβου διαδόχου. Κατὰ ταῦτα ὁ ἰσχυρισμός, λέγει ὁ Zeller I, 56, καθ' ὃν πρῶτος ὁ Φερεκύδης ἐποιήσατο λόγον περὶ τῆς μετεμψυχώσεως, ἐρείδεται ἴσως ἐπὶ τούτου, ὅτι οὐδὲν ἕτερον βιβλίον ἦν γνωστόν, ὅπερ περιεῖχε τὴν διδασκαλίαν ταύτην.

Ἡ δὲ εἴδησις τοῦ Σουίδα καὶ τῶν ἄλλων ἀρχαίων, καθ' ἣν ὁ Φερεκύδης παρίσταται διδάσκαλος τοῦ Πυθαγόρου[16] *φαίνεται οὐχὶ ἀναμφισβήτητος. Εἰκὸς γὰρ τῷ τερατοποιῷ Πυθαγόρᾳ*[17] *δοθῆναι δι-*

---

16) Διογ. Λαερ. ***VIII 2***, καλεῖ διδάσκαλον τοῦ Πυθαγόρου τὸν Φερεκύδην καὶ τὸν ἀπόγονον τοῦ Ὁμηρικοῦ Κρεωφύλου Ἑρμοδάμαντα (πρβ. Ἰάμβλιχον β. Πυθ. 11)· παρὰ τῷ Πορφυρίῳ (β. Πυθαγόρου 2. 11) προστίθεται τούτοις τοῖς διδασκάλοις καὶ ὁ Ἀναξίμανδρος, παρὰ δὲ τῷ Ἰαμβλίχῳ (β. Πυθ. 11) καὶ ὁ Θαλῆς. Παρὰ τῷ Ἀπουληίῳ (***Flor.*** II, 15 σελ. 61 ***Hild***) ἀντὶ τοῦ Θάλητος ἀναγινώσκεται ὡς διδάσκαλος τοῦ Πυθαγόρου ὁ Ἐπιμενίδης, ὃν γνωρίσας ὁ Πυθαγόρας ἐν Κρήτῃ (Διογ. Λαερ. ***VIII, 3***) κατῆλθε σὺν αὐτῷ εἰς τὸ Ἰδαῖον ἄντρον. Ἑτέρωθι ὅμως (Ἰαμβλ. β. Πυθαγ. 135) ὁ ὑπερβόρεος Ἄβαρις καὶ ὁ Κρὴς Ἐπιμενίδης λέγονται μαθηταὶ τοῦ Πυθαγόρου· οὕτως ἀκρίτως συγχέουσιν οἱ μεταγενέστεροι τούς τε χρόνους καὶ πρόσωπα.

17) Πρβ. ***Zeller*** I, 270 κέ. λεγόμενος υἱὸς τοῦ Ἀπόλλωνος (Ἰαμβλ· 5 κέ. Πορφ. 2.) κατελέγετο ὁ Πυθαγόρας τοῖς θεοῖς (Ἰαμβλ. 30· οἱ μὲν

δάσκαλον ἄνδρα ὁμοίου χαρακτῆρος καὶ ἔνδοξον ἐπὶ τῷ τῆς μετεμψυχώσεως δόγματι, ἄλλως τε καὶ τῶν εἰδήσεων περὶ τῆς διδασκαλίας τοῦ Πυθαγόρου παρὰ Φερεκύδῃ καὶ τῆς ὑπὸ τοῦ Εὐγνώμονος μαθητοῦ γενομένης νοσοκομήσεως τοῦ νοσοῦντος διδασκάλου οὐ συνᾳδουσῶν ἀλλήλαις. Κατὰ τὸν Διογένη VIII ὁ Πυθαγόρας προσῆλθεν εἰς Λέσβον πρὸς τὸν Φερεκύδην ὡς μαθητεύσων (συστῆναι δ' εἰς Λέσβον ἐλθόντα Φερεκύδῃ ὑπὸ Ζωΐλου τοῦ θείου), μετὰ δὲ τὴν τοῦ διδασκάλου τελευτὴν ἧκεν εἰς Σάμον καὶ ἤκουσεν Ἑρμοδάμαντος. Κατὰ δὲ τὸν Ἰάμβλιχον (9, 11) ὁ Πυθαγόρας διδάσκεται παρὰ Φερεκύδῃ πρῶτον ἐν Σάμῳ καὶ εἶτα ἐν Σύρῳ ἢ Μιλήτῳ. Ὡσαύτως δὲ καὶ αἱ εἰδήσεις περὶ νοσοκομήσεως τοῦ Φερεκύδου ὑπὸ Πυθαγόρου οὐχ εὕρηνται συνᾳδουσαι ἀλλήλαις. Ὁ Πορφύριος (15. 56) μαρτυρεῖ κατὰ τὸν Δικαίαρχον καὶ τοὺς ἀκριβεστέρους, ὡς λέγει, ὅτι ὁ Πυθαγόρας πρὸ τῆς εἰς Ἰταλίαν ἀπελεύσεως αὐτοῦ ἦλθεν εἰς Δῆλον καὶ θάψας τὸν ἑαυτοῦ διδάσκαλον ἐπανῆλθεν εἰς Σάμον. Τοὐναντίον δὲ Διόδωρος ὁ Σικελιώτης (ἀποσπ. σελ. 554), Διογένης ὁ Λαέρτιος (VIII 40), ὁ Ἰάμβλιχος (184. 252) ποιοῦσι τὸν Πυθαγόραν ἀπελθόντα εἰς Δῆλον ἐξ Ἰταλίας καὶ μετὰ τὸ θάψαι Φερεκύδην ἐν Δήλῳ ἐπανελθόντα εἰς Ἰταλίαν, ἔνθα μετ' οὐ πολὺ ἀπέθανεν ἐν Μεταποντίῳ. Πόθεν ὅμως ἠρύσατο ὁ Φερεκύδης τὴν ἑαυτοῦ σοφίαν καὶ τίνα ἔσχε διδάσκαλον; Ὁ μὲν Διογένης ὁ Λαέρτιος (I, 116) λέγει ὅτι Πιττακοῦ διακήκοεν, ὅπερ παντάπασιν ἀπίθανον κατέστησεν ἤδη ὁ **Tiedemann p.** 156,

---

τὸν Πύθιον, οἱ δὲ τὸν ἐξ ὑπερβορέων Ἀπόλλωνα, οἱ δὲ τὸν Παιῶνα, οἱ δὲ τῶν τὴν σελήνην κατοικούντων δαιμόνων ἕνα, ἄλλοι δὲ τῶν Ὀλυμπίων θεῶν ἐφήμιζον εἰς ὠφέλειαν καὶ ἐπανόρθωσιν τοῦ θνητοῦ βίου λέγοντες ἐν ἀνθρωπίνῃ μορφῇ φανῆναι τοῖς τότε, ἵνα τὸ τῆς εὐδαιμονίας τε καὶ φιλοσοφίας σωτήριον ἔναυσμα χαρίσηται τῇ θνητῇ φύσει, οὗ μεῖζον ἀγαθὸν οὔτε ἦλθεν οὔτε ἥξει ποτὲ δωρηθὲν ἐκ θεῶν διὰ τούτου τοῦ Πυθαγόρου). Ὁ Ἑρμῆς, οὗτινος ἦν υἱὸς ἐν προτέρῳ βίῳ, ἐδωρήσατο τῷ Πυθαγόρᾳ τὴν ἀνάμνησιν τοῦ ἑαυτοῦ παρελθόντος. Κατὰ τὸν Αἰλιαν. Π. ἱ. 2, 26 καὶ 4, 17 εἶχε χρυσοῦν μηρόν, ὤφθη δὲ ἅμα ἔν τε Κρότωνι καὶ Μεταποντίῳ. Κατὰ τὸν Ἰάμβλιχον 140 καὶ τὸν Πλούταρχον (Β. Νουμᾶ κ. 8) ἐν τῷ ἀγῶνι ἐξανιστάμενος παρέφηνε τοῖς ἐν Ὀλυμπίᾳ συνηθροισμένοις Ἕλλησι τὸν μηρὸν χρυσοῦν. Περὶ τῶν διαφόρων αὐτοῦ τερατωδῶν θαυμάτων παραπέμπομεν εἰς τὰ ὑπὸ τοῦ Πορφυρίου 23-26 ἱστορούμενα.

καταδείξας καὶ ἐν σελ. 158 *τὸ πλημμελὲς τῆς γνώμης ἐκείνων, οἵτινες παρερμηνεύοντες τοὺς λόγους τοῦ Ἡσυχίου: Ἐζηλοτύπει δὲ τὴν Θάλητος δόξαν: ἐποίησαν τὸν Φερεκύδην μαθητὴν τοῦ Θάλητος μὴ αἰσθανόμενοι, ὅτι αἱ λέξεις σημαίνουσι τὴν ἅμιλλαν, ἧς ἔμπλεως ὁ Φερεκύδης ἐπειρᾶτο τυχεῖν τῆς αὐτῆς τῷ Θάλητι δόξης καὶ τιμῶν. Ὁ Σουίδας γράφει: αὐτὸν δὲ οὐκ ἐσχηκέναι καθηγητήν, ἀλλ' ἑαυτὸν ἀσκῆσαι κτησάμενον τὰ φοινίκων ἀπόκρυφα βιβλία. Τὸ ἄλογον τῆς δόξης ταύτης ὑπερέβη ἡ πολλῷ ἀλογωτέρα γνώμη τοῦ Ἰσιδώρου, υἱοῦ τοῦ γνωστικοῦ Βασιλείδου* (Κλημ. *Ἀλ. Στρωμ.* 6, *p.* 642 *A*) *λέγοντος, ὅτι ὁ Φερεκύδης ἐπέδωκεν ἐκ τῆς προφητείας τοῦ Χάμου. Ὁ **Heinius p.*** 310-12 *ἑπόμενος τῷ **Huetius (evang. propos. 4, 7)** καὶ ὑπολαμβάνων ὅτι ὁ Φερεκύδης ἐκ τῶν βιβλίων τοῦ Μωϋσέως ἀχθέντων διὰ Φοινίκων εἰς Σύρον μετωχέτευσε τὴν ἑαυτοῦ σοφίαν, ἐπάγεται περὶ τούτου μαρτύριον τοὺς στίχους τοῦ Ἰουβενάλεως σατ.* 14, 101 *κέ.*

Judaicum ediscunt, et seruant, ac metuunt jus
Iradidit arcano quodcumque volumine Moses

*πρὸς ἀπόδειξιν, ὅτι ἡ γλῶσσα τῶν Φοινίκων ἢ τῶν Χαναναίων ἦν ἄγνωστος τοῖς πλείστοις τῶν γειτνιαζόντων λαῶν καὶ διὰ τοῦτο ὀρθῶς τὰ Μωσαϊκὰ βιβλία ὠνομάζοντο «ἀπόκρυφα βιβλία». Τὴν μωρίαν τῆς γνώμης ταύτης ἐξήλεγξεν ἤδη ὁ **Theoph. Wernsdorf** ἐν πραγματείᾳ αὐτοῦ ἐπιγραφομένῃ: **de metempsychosi veterum non figurate sed proprie intelligenda 1741**. Μᾶλλον δὲ ἀληθείας μετέχουσαν ὑπολαμβάνει ὁ **Sturz*** (§ 3 *καὶ* § 4) *τὴν γνώμην τοῦ Ἰωσήπου (κατὰ Ἀπίωνος* I, *σελ.* 1034 *E*), *Φερεκύδης ὁ Σύριος καὶ Πυθαγόρας καὶ Θαλῆς ἐχρημάτισαν μαθηταὶ τῶν Χαλδαίων. Ἀμφισβητουμένης ὅμως τῆς εἰς Αἴγυπτον καὶ ἀλλαχόσε τῆς Ἀσίας ἀποδημίας τοῦ Πυθαγόρου*[18], *ἔτι*

---

18) Ἐκ τῶν μακρῶν φιλομαθείας χάριν (Στραβ. *XIV*, 1, 16 σελ. 638: Πυθαγόραν ἱστοροῦσιν.... ἀπελθεῖν εἰς Αἴγυπτον καὶ Βαβυλῶνα· Κλήμ. Ἀλεξ. στρωμ. 302 c: Χαλδαίων τε καὶ Μάγων τοῖς ἀρίστοις συνεγένετο) ἀποδημιῶν τοῦ Πυθαγόρου πρὸς τοὺς Φοίνικας, Χαλδαίους, Μάγους (Πέρσας), Ἰνδούς, Ἄραβας, Ἰουδαίους, Θρᾷκας, Δρουίδας, μάλιστα δὲ τοὺς Αἰγυπτίους, οὐδεμία οὐδ' ἡ μᾶλλον ἀξιόπιστος φαινομένη, λέγει ὁ **Zeller** (I, 274 κέ.) ἀποδείκνυται ἱστορικῶς. Ἡ ἀρχαιοτάτη μαρτυρία περὶ τῆς εἰς Αἴγυπτον ἀποδημίας τοῦ Πυθαγόρου ἐστὶν ἡ τοῦ Ἰσοκράτους (Βουσίριδι 11), εἶτα ἡ τοῦ Κικέρωνος (***Fin. V*, 29**,

μᾶλλον ἀνυπόστατος θεωρητέα ἡ γνώμη περὶ ἀποδημίας τοῦ Φερεκύδου εἰς τοὺς Χαλδαίους καὶ περὶ τῆς σοφίας ἣν ἐντεῦθεν ἠρύσατο. Ἅπασαι αὗται αἱ διηγήσεις περὶ ἀποδημιῶν τοῦ Φερεκύδου εἰς τοὺς Χαλδαίους καὶ τοὺς ἄλλους λαοὺς τῆς Ἀσίας προῆλθον ἐκ τῆς ἡμαρτημένης προϋποθέσεως τῶν μεταγενεστέρων, οἵτινες ὑπολαμβάνοντες τὰς διδασκαλίας *τῆς ἑλληνικῆς φιλοσοφίας καταγομένας ἔξωθεν ἐπενόησαν εἶτα καὶ τὰς διηγήσεις περὶ ἀποδημιῶν τῶν Ἑλλήνων φιλοσόφων εἰς τοὺς διαφόρους λαοὺς τῆς Ἀσίας. Ἀλλὰ τὰ πράγματα οὐκ ἔχουσιν οὕτω, ἡ δὲ ἑλληνικὴ φιλοσοφία οὖσα καὶ νομιζομένη νῦν ὑπὸ τῶν ἐπαϊόντων γνήσιον καὶ αὐτοφυὲς ἑλληνικὸν φυτὸν προέκυψεν ἐκ τοῦ πνευματικοῦ βίου τοῦ ἔθνους.*

Οἱ Ἕλληνες σὺν τοῖς ἄλλοις ἰνδοευρωπαϊκοῖς λαοῖς καταγόμενοι ἐκ τῆς Ἀσίας ἐκόμισαν μεταστάντες εἰς Εὐρώπην σὺν τῇ γλώσσῃ καὶ τὰς γενικὰς βάσεις τῆς θρησκείας καὶ τῶν ἠθῶν. Ἐνιδρυθέντες δὲ ἐν ταῖς μετὰ ταῦτα οἰκήσεσιν διετέλουν δεχόμενοι ξένας ῥοπὰς ἀφικνουμένας εἰς Ἑλλάδα ἐκ τῶν ἀνατολικῶν λαῶν, τὸ μὲν διὰ τῆς Θρᾴκης καὶ τοῦ Βοσπόρου, τὸ δὲ διὰ τοῦ Αἰγαίου πελάγους καὶ τῶν ἐν αὐτῷ νήσων. Σιδόνιοι Φοίνικες συγχρωτισθέντες ἐν Θρᾴκῃ μὲν πρὸς τοὺς αὐτόσε ἐπελθόντας Φρύγας, καταλαβόντες δὲ μετὰ Καρῶν ἤδη ἐν τῇ 14*ῃ ἢ* 13*ῃ ἑκατονταετηρίδι τὰς νήσους τοῦ Αἰγαίου πελάγους ἦρχον ἐν Ἀττικῇ καὶ Βοιωτίᾳ — ἀναλογισάσθω τις τὸν μῦθον τῆς Εὐρώπης καὶ τὸν φόρον τῶν Ἀθηνῶν πρὸς τὴν Κρήτην — μετέβησαν ἐκ τῶν Κυθήρων ἀρχαίας φοινικικῆς λατρείας τόπον, εἰς τὴν ἀντικρὺ κειμένην Λακεδαίμονα, κατέσχον τὴν Κόρινθον, ἔνθα ἡ Ἀφροδίτη, ἡ Φοίνισσα Ἀστάρτη, καὶ τὴν Ἦλιδα, ἔνθα ὁ Ἡρακλῆς, ὁ Φοῖνιξ Μελί-*

---

87), καὶ μετὰ τὸν Κικέρωνα ἡ τοῦ Στράβωνος *(XIV, 1, 16)* καὶ αἱ τῶν ἄλλων μεταγενεστέρων. Ἡ μαρτυρία τοῦ Ἰσοκράτους εὕρηται ἐν λόγῳ διαρρήδην οὐδεμιᾶς ἀξιοπιστίας ἀντιποιουμένῳ (ἐπεὶ εἰ καὶ τυγχάνομεν ἀμφότεροι ψευδῆ λέγοντες γράφει ὁ Ἰσοκράτης πρὸς τὸν Πολυκράτην ἐν οἷς περὶ Πυθαγόρου λέγει). Ὁ Ἡρόδοτος οὐδαμῶς μνημονεύει ἀποδημίας τοῦ Πυθαγόρου εἰς Αἴγυπτον. Αἱ μαρτυρίαι ἀναφαίνονται τόσῳ πλείονες παρὰ τοῖς μεταγενεστέροις, ὅσῳ μᾶλλον ἀφίστανται τῶν χρόνων τοῦ φιλοσόφου καὶ ὅσῳ μᾶλλον οἱ Ἕλληνες γινώσκουσι τοὺς λαοὺς τῆς Ἀνατολῆς, τόσῳ μᾶλλον αὐξάνονται καὶ αἱ περὶ ἀποδημιῶν τοῦ Πυθαγόρου εἰς Αἴγυπτον διηγήσεις. Ταῦτα πάντα τὰ μαρτύρια ὅμως ἀποτελοῦσι φαντασιώδη μυθοπλαστίαν, οὐδαμῶς δὲ ἱστορικὴν παράδοσιν.

κερθος, ἔκπαλαι ἐλατρεύοντο, προελάσαντες μέχρις Αἰτωλῶν, Θεσπρωτῶν καὶ Ἰλλυριῶν. Οἱ ξένοι οὗτοι κατακτηταὶ ὀλίγον κατ' ὀλίγον ἐκδιωχθέντες ἢ ἀφομοιωθέντες ὑπὸ τοῦ μείζονος πληθυσμοῦ τῶν ἐγχωρίων ἐφαίνοντο μετὰ τὴν ἐπιδρομὴν τῶν Δωριέων ὡς ἔμποροι ἐν ταῖς ἀκταῖς, ἀλλ' ὅμως πολλαὶ τεχνικαὶ γνώσεις καὶ θρησκευτικαὶ ἰδέαι εἰσαχθεῖσαι τοῖς Ἕλλησι διὰ τῶν Φοινίκων παρέμειναν ὡς ἀμυδραὶ ἀναμνήσεις, ἃν ἡ καταγωγὴ σὺν τῷ χρόνῳ περιῆλθεν εἰς λήθην. Αὐτοὶ οἱ Ἕλληνες ἐν χρόνοις ὑστέροις λαβόντες γνῶσιν τῆς Ἀνατολῆς καὶ εὑρόντες ἴχνη τῆς θρησκευτικῆς ταύτης ὁμοιότητος παρὰ πᾶν τὸ τῆς ὑπερηφανίας αἴσθημα πρὸς τοὺς βαρβάρους ἔρρεπον εἰς τὴν γνώμην, ὅτι κατὰ μέρος ἡ φιλοσοφία αὐτῶν προῆλθεν ἐκ τῶν ἀνατολικων λαῶν, ὧν ἡ παιδεία προήχθη τῆς τῶν Ἑλλήνων. Ὁ Ἡρόδοτος παραδέχεται μὲν ῥοπὴν τῆς Αἰγύπτου ἐπὶ τὴν θρησκείαν τῆς Ἑλλάδος (*II*, 49. 50. 54. 55. 123) οὐδαμοῦ ὅμως τὴν ἑλληνικὴν φιλοσοφίαν καταγομένην ἐκεῖθεν. Ὅτι ὁ Πυθαγόρας ἀφικόμενος εἰς Αἴγυπτον καὶ μαθητὴς τῶν Αἰγυπτίων γενόμενος τήν τε ἄλλην φιλοσοφίαν πρῶτος εἰς τοὺς Ἕλληνας ἐκόμισε καὶ τὰ περὶ τὰς θυσίας καὶ τὰς ἁγιστείας ἐπιφανέστερον τῶν ἄλλων Ἑλλήνων ἐσπούδασε λέγει ὁ Ἰσοκράτης ἐν λόγῳ, ὡς εἴδομεν (σελ. 28) ἐνόχῳ ῥητορικῆς φαντασίας καὶ οὐδεμιᾶς ἀξιοπιστίας ἀντιποιουμένῳ. Ὁ Ἡρόδοτος οὐδαμῶς μνημονεύει τὴν εἰς Αἴγυπτον ἀποδημίαν τοῦ Πυθαγόρου καί περ παραδεχόμενος διδασκαλίας τινὰς αὐτοῦ ἐκεῖθεν μετοχετευθείσας. Μᾶλλον ἀξιόπιστά εἰσι τὰ μαρτύρια Διοδώρου τοῦ Σικελιώτου *I*, 98 (πρβ. **Zeller** *I* [4], 765) περὶ μακρῶν ἀποδημιῶν τοῦ Δημοκρίτου εἰς διαφόρους χώρας τῆς Ἀσίας καὶ Ἀφρικῆς, ἀλλὰ τὰ μυθολογούμενα παρὰ Στράβωνι (*XVI*, 2, 25, σελ. 757) καὶ Σέξτῳ (Μαθ. *XI*, 363), ὅτι ὁ Δημόκριτος τὴν περὶ ἀτόμων διδασκαλίαν αὐτοῦ μετωχέτευσεν ἔκ τινος παναρχαίου φοινικικοῦ φιλοσόφου Μώχου, οὗ τὸ βιβλίον ὑποβολιμαῖόν ἐστι [19] νεώτερον τῶν χρόνων τοῦ Ἀριστοτελικοῦ Εὐδήμου ἀμοιροῦσι πάσης ὑποστάσεως. Ὡσαύτως καὶ τοῦ Πλάτωνος ἡ εἰς Αἴγυπτον ἀποδημία φαίνεται ἱστορικὴ καὶ μᾶλλον πεπιστωμένη ἢ αἱ ὀψιαίτεραι ἀπίθανοι εἰδήσεις περὶ ἐπιμιξίας αὐτοῦ

19) Περὶ τῆς ὑπάρξεως τοιούτου βιβλίου πρβ. Ἰωσήπ. ἀρχαιολ. I, 3, 9. Ἀθην. III, 126ᵅ Δαμασκ. περὶ ἀρχ. σελ. 385 ***(Kopp)***, Ἰαμβλ. β. Πυθ. 14. Διογ. Λαερτ. προοιμ. 1.

πρὸς τοὺς Φοίνικας καὶ Ἰουδαίους, Χαλδαίους καὶ Πέρσας. Πλὴν ἀλλ' ὅμως αὐτὸς ὁ Πλάτων (Πολιτ. **IV**, 435 Ε πρβ. καὶ **Ritter, Gesch. der Philos.** I, 135 κέ) ἐκδηλοῖ τὴν περὶ τῆς φιλοσοφίας τῶν Αἰγυπτίων γνώμην αὐτοῦ ἀντιπαραβάλλων τὸ φιλομαθὲς τοῦ ἑλληνικοῦ πνεύματος πρὸς τὸ φιλοχρήματον τῶν κατὰ τὴν Ἀνατολὴν λαῶν, μνημονεύων πολλαχοῦ τῶν διαλόγων ὡς αἰγυπτιακὰ τεχνικὰς ἐξευρέσεις καὶ πολιτικοὺς θεσμούς, οὐδεμίαν δὲ φιλοσοφικὴν ἀνακάλυψιν (**Brandis, Gesch. der griech-röm. Philos. I, 143**). Καὶ ὁ Ἀριστοτέλης παριδίδωσιν, ὅτι ἐν Αἰγύπτῳ ἤκμασαν αἱ μαθηματικαὶ καὶ ἀστρονομικαὶ τέχναι γράφων ἐν τοῖς μετὰ τὰ φυσ. I, 1. 981, 6, 23: διὸ περὶ Αἴγυπτον αἱ μαθηματικαὶ πρῶτον τέχναι κατέστησαν· ἐκεῖ γὰρ ἀφείθη σχολάζειν τὸ τῶν Ἱερέων ἔθνος· πρβ. καὶ Μετεωρολ. I, 6. 343, 6, 28. Ἀλλὰ ταῦτα πάντα εἰσὶ διδασκαλίαι τινὲς μεταβᾶσαι ἔξωθεν εἰς τοὺς Ἕλληνας. Ὅτι δὲ σύμπασα ἡ ἑλληνικὴ φιλοσοφία κατάγεται ἐκ τῆς Ἀνατολῆς, τοῦτο διετείναντο, καθ' ὅσον γινώσκομεν, οὐχὶ Ἕλληνες, ἀλλὰ Ἀνατολῖται. Οἱ ἑλληνικὴν παιδείαν πεπαιδευμένοι Ἰουδαῖοι τῆς Ἀλεξανδρινῆς Σχολῆς ἀποφαινόμενοι ταῦτα ἐπειρῶντο ἀποδεῖξαι τὴν ὑπάρχουσαν δῆθεν συμφωνίαν τῶν θρησκευτικῶν αὐτῶν βιβλίων πρὸς τὰς διδασκαλίας τῶν Ἑλλήνων ποιητῶν καὶ φιλοσόφων ἀποβλέποντες εἰς ἰδίους σκοποὺς καὶ συμφέροντα (πρβ. **Zeller** μ. III,[2] 6, 220 κέ 300 κέ καὶ **Döllinger, Akademische Vorträge** I, 167 κέ). Καθ' ὅμοιον δὲ τρόπον καὶ οἱ τῶν Αἰγυπτίων Ἱερεῖς λαβόντες ἐπὶ τῶν Πτολεμαίων γνῶσιν τῆς ἑλληνικῆς φιλοσοφίας ἐβρενθύοντο ἐπὶ τῇ ἑαυτῶν σοφίᾳ, ἣν οἱ Ἕλληνες ποιηταὶ καὶ φιλόσοφοι ἠρύσαντο παρ' αὐτοῖς. Παρ' Ἡροδότῳ οἱ Αἰγύπτιοι Ἱερεῖς ὑπελάμβανον ἑαυτοὺς ὡς ἀρχηγέτας τῆς ἑλληνικῆς θρησκείας, ἀλλὰ νῦν ἀντεποιοῦντο καὶ τῶν πρωτείων τῆς φιλοσοφίας. Διόδωρος ὁ Σικελιώτης ἐν Βιβλιοθ. ἱστορ. I, 96 γράφει: «Τούτων δὲ ἡμῖν διευκρινημένων, ῥητέον ὅσοι τῶν παρ' Ἕλλησι δεδοξασμένων ἐπὶ συνέσει καὶ παιδείᾳ παρέβαλον εἰς Αἴγυπτον ἐν τοῖς ἀρχαίοις χρόνοις, ἵνα τῶν ἐνταῦθα νομίμων καὶ παιδείας μετάσχωσιν· οἱ γὰρ Ἱερεῖς τῶν Αἰγυπτίων ἱστοροῦσιν ἐκ τῶν ἀναγραφῶν τῶν ἐν ταῖς Ἱεραῖς βίβλαις παραβαλεῖν πρὸς αὐτοὺς Ὀρφέα τε καὶ Μουσαῖον καὶ Μελάμποδα καὶ Δαίδαλον· πρὸς δὲ τούτοις Ὅμηρόν τε τὸν ποιητὴν καὶ Λυκοῦργον τὸν Σπαρτιάτην· ἔτι δὲ Σόλωνα τὸν Ἀθηναῖον, καὶ Πλάτωνα τὸν φιλόσοφον· ἐλθεῖν δὲ καὶ Πυθαγόραν τὸν Σάμιον καὶ τὸν

μαθηματικὸν Εὔδοξον· ἔτι δὲ Δημόκριτον τὸν Ἀβδηρίτην καὶ Οἰνοπίδην τὸν Χῖον· πάντων δὲ τούτων σημεῖα δεικνύουσι, τῶν μὲν εἰκόνας, τῶν δὲ τόπων ἢ κατασκευασμάτων ὁμωνύμους προσηγορίας». Οὐ πολλῷ δὲ ὕστερον γενομένης ταύτης τῆς γνώμης ἀποδεκτῆς παρὰ τοῖς Ἕλλησιν, ἐκυκλοῦτο μετὰ τὴν ἐμφάνισιν τῶν νέων Πυθαγορείων μάλιστα ἐν Ἀλεξανδρείᾳ ἡ πίστις, ὅτι οἱ ἐπισημότατοι τῶν ἀρχαίων φιλοσόφων ἔσχον διδασκάλους Ἱερεῖς καὶ σοφοὺς τῆς Ἀνατολῆς. Ἡ γνώμη αὕτη κατέστη ἐν ταῖς ἐπιούσαις ἑκατονταετηρίσι γενικωτέρα, οἱ δὲ μετὰ ταῦτα Νεοπλατωνικοὶ διϊσχυρίζοντο, ὅτι οἱ ἀρχαῖοι φιλόσοφοι οὐδὲν ἕτερον ἐποίησαν ἢ τὴν διάδοσιν διδασκαλιῶν ὑπαρχουσῶν πρόπαλαι ἐν ταῖς παραδόσεσι τῶν ἀνατολικῶν λαῶν· οὐδὲν δὲ θαυμαστόν, ὅτι οἱ χριστιανοὶ[20] θεολόγοι μέχρι τῶν καθ' ἡμᾶς χρόνων παραδεχόμενοι τοὺς περὶ ἐξαρτήσεως τῆς ἑλληνικῆς φιλοσοφίας Ἰουδαϊκοὺς ἰσχυρισμοὺς ἔκ τε τῆς παλαιᾶς διαθήκης καὶ ἐκ τῶν διδασκαλιῶν τῶν Φοινίκων καὶ Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Περσῶν καὶ Ἰνδῶν οὐδαμῶς ὑπώπτευον τὸ ὀρθὸν τῶν μαρτυρίων τούτων. Αἱ νεώτεραι ὅμως ἔρευναι ἐξήλεγξαν πρὸ πολλοῦ τὸ ἀνυπόστατον τῶν ἰσχυρισμῶν τούτων ἀποδείξασαι, ὅτι οἱ μεταγενέστεροι τῶν ἀρχαίων, μάλιστα δὲ οἱ ὀπαδοὶ τῶν Πυθαγορείων καὶ τῶν νέων Πλατωνικῶν ἀμοιροῦντες παντάπασιν ἱστορικοῦ καὶ κριτικοῦ πνεύματος καὶ μὴ διακρίνοντες τὸ ἀληθὲς τοῦ ψευδοῦς, οἱ δὲ πλεῖστοι αὐτῶν ἀφροντιστοῦντες τῶν προκειμένων αὐτοῖς πηγῶν, ἀφηγοῦνται πολλάκις περὶ Πυθαγόρου καὶ Πλάτωνος πράγματα ἄγνωστα ἄλλοθεν, ὄντα ὅμως ὡς ἐπὶ τὸ πλεῖστον μυθοπλαστίαι καὶ ἀποκυήματα τῆς ἑαυτῶν φαντασίας. Οὕτω δὲ ὁ θαυμασμὸς πρὸς τὴν ἀσιατικὴν φιλοσοφίαν, ἐξ ἧς ψιχία μόνον διεκομίσθησαν τοῖς Ἕλλησιν, ἐμειώθη μεγάλως ἐξ ὅτου οἱ εἰδήμονες τῆς κλασικῆς ἀρχαιότητος χαίρειν ἐάσαντες τὰς συγκεχυμένας ἰδέας τῶν προτέρων λογίων καὶ ἐρευνήσαντες τὰ πράγματα ἱστορικῶς κατέδειξαν τὸ μέγα χάος, ὃ ἐστήρικται μεταξὺ

---

20) Πάντας ὑπερέβαλον ἐν τούτῳ οἱ Ἀλεξανδρινοὶ θεολόγοι, μάλιστα δὲ ὁ Κλήμης ἐν τοῖς Στρωματεῦσιν αὐτοῦ ὀνομάζων (I, 274 B) τὸν Πλάτωνα ἐξ ἑβραίων φιλόσοφον. Ἐν ἑτέρῳ χωρίῳ (Στρωμ. 312 c. 320 A) περὶ τῶν Ἑλλήνων φιλοσόφων διατείνεται ὁ Κλήμης, ὅτι λαβόντες μόρια μόνον τῆς ἀληθείας παρὰ τῶν Ἑβραίων ποιητῶν ἀνεκήρυξαν αὐτὰ ὡς ἴδια αὐτῶν.

τῆς Ἀνατολικῆς καὶ Ἑλληνικῆς φιλοσοφίας. Πλὴν ἀλλ' ὅμως καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀνεφάνησαν ἄνδρες διατεινόμενοι, ὅτι ἡ ἑλληνικὴ φιλοσοφία μετήχθη εἰς Ἑλλάδα ἔξωθεν. Οὕτω ὁ μὲν **Gladisch** ἐν ἀλλεπαλλήλοις αὐτοῦ βιβλίοις ἐπιγραφομένοις (*Einleitung in d. Verständniss der Weltgeschichte 1841—1844. Das Mysterium der ägyptischen Pyramiden und Obelisken 1846. Ueber Heraklit* ἐν *Zeitschrift für Alterthumswiss. 1846—1848 Die verschleierte Isis 1849. Religion und Philosophie in ihrer weltgeschichtlicher Entwickelung 1852. Empedokles und die Aegyptier 1858. Heraklit und Zoroaster 1859. Anaxagoras und die Israeliten 1864. Die Hyperboreer und die alten Chinesen 1866·*) ἀποφαίνεται, ὅτι ἐν τοῖς πρὸ τοῦ Σωκράτους φιλοσοφικοῖς συστήμασιν ἐπαναλαμβάνεται ἡ περὶ κόσμου θεωρία τῶν πέντε κυρίων ἀνατολικῶν λαῶν, ἐν τῷ πυθαγορείῳ ἡ Σινική, ἐν τῷ ἐλεατικῷ ἡ Ἰνδική, ἐν τῷ ἡρακλειτείῳ ἡ Περσική, ἐν τῷ ἐμπεδοκλείῳ ἡ Αἰγυπτιακὴ καὶ ἐν τῷ ἀναξαγορείῳ ἡ Ἰουδαϊκή, ὁ δὲ **Röth** (*Geschichte unserer abendländischen Philosophie* 1846—1858 *I*, 74 κέ. 228 κέ. 459 κέ.) ὑπολαμβάνει, ὅτι ἡ ἑλληνικὴ φιλοσοφία προελθοῦσα ἐκ τῆς αἰγυπτιακῆς θρησκείας συναναμιγείσης αὐτῇ καὶ ζωροαστρικῶν ἰδεῶν ἀπαλλάττεται μὲν ἐπὶ Ἀριστοτέλους τῶν ξένων ῥοπῶν, ἀλλ' ἐν τοῖς Νεοπλατωνικοῖς ἀναφαίνεται πάλιν ἡ αἰγυπτιακὴ θεωρία ἐν νέᾳ μορφῇ, ἐκ δὲ τῶν ζωροαστρικῶν ἰδεῶν σχόντος ῥοπήν, καὶ τοῦ αἰγυπτιακοῦ πνεύματος προῆλθεν ὁ χριστιανισμός. Αἱ γνῶμαι ὅμως ἀμφοτέρων τούτων τῶν λογίων οὖσαι παντάπασιν πεπλανημέναι ἐρείδονται ἐπὶ ἀναξίων πίστεως μαρτυρίων, ὑποβολιμαίων συγγραμμάτων, ἀκρίτου μεθόδου ἀναμιγνύσης προγενέστερα καὶ μεταγενέστερα, ἐπισφαλῶν ὑποθέσεων καὶ ἀλλοκότων καὶ αὐθαιρέτων ἐτυμολογιῶν καὶ ἑρμηνειῶν, ὡς ἱκανῶς κατέδειξεν ὁ **Zeller** (I^4, 27 κέ), ὁ κάλλιστος ἐπιγνώμων τῆς ἑλληνικῆς φιλοσοφίας. Ἡ ἐπικρατοῦσα νῦν γνώμη τῶν λογίων ἐστὶν ἥδε, ὅτι ἡ ἑλληνικὴ φιλοσοφία ἐδέξατο μὲν διὰ τῆς πρὸς τὴν Ἀνατολὴν ἐπιμιξίας τῶν Ἑλλήνων θρησκευτικάς, μάλιστα δὲ κοσμογονικὰς καὶ φυσικομαθηματικὰς ἰδέας, αἵτινες ἐν Ἀνατολῇ ἐτύγχανον ἐπιμελοῦς θεραπείας, ἀλλ' ὅμως προκύψασα ἐκ τοῦ πνευματικοῦ βίου τῶν Ἑλλήνων ἐστὶν τὰ μάλιστα ἐπιχώριον φυτόν.

ΜΕΡΟΣ Β'.

ΠΕΡΙ ΤΗΣ ΘΕΟΓΟΝΙΑΣ ΤΟΥ ΦΕΡΕΚΥΔΟΥ

Λαὸς ἔχων τοιαῦτα πνευματικὰ χαρίσματα, οἷα ὁ ἑλληνικός, ἀπαράμιλλον ἔρωτα πρὸς τὴν ἀλήθειαν καὶ τὸ φιλοσοφεῖν, μεγάλην διαύγειαν καὶ πλαστικότητα πνεύματος, σφοδρὰν ὁρμὴν πρὸς τὸ ὑψηλὸν καὶ καλόν, ἐτράπη, ὡς εἰκός, πρωϊαίτατα πρὸς ἔρευναν τῶν φαινομένων τῆς φύσεως καὶ τοῦ ἀνθρωπίνου βίου. Ἐπιστημονικὸν χαρακτῆρα οὐκ ἠδύναντο ἔχειν αἱ πρῶται αὗται ἀπόπειραι, ὥσπερ δὲ ἡ ἠθικὴ τὸν ἀνθρώπινον βίον ἐξετάζουσα διετήρησε μέχρι Σωκράτους καὶ Πλάτωνος τὸν τύπον ἀφοριστικῆς γνωμολογίας, οὕτω καὶ ἡ κοσμολογία τὴν γένεσιν καὶ τὴν αἰτίαν τῶν ὄντων καὶ τῆς φύσεως ἐρευνῶσα διεφύλαξε μέχρι Θάλητος[1] τὴν μυθολογικὴν διήγησιν. Καὶ οὐ δύναται μέν τις τούτους τοὺς μυθικοὺς κοσμολόγους καὶ τοὺς ἠθικοὺς γνωμολόγους[2] καταλέγειν ἐν τοῖς φιλοσόφοις, ἀλλ' ὅμως αἱ

---

1) Πρῶτος ὁ ***Tiedemann (Geist der spekul. Philosophie I, Vortr. p. XVII)*** ἀπέφηνε τὸν Θάλητα τὸν ἀρχηγέτην τῆς ἑλληνικῆς φιλοσοφίας· περὶ τοῦ ἑλληνικοῦ γένους τοῦ Θάλητος, ὑπολαμβανομένου τέως παρὰ πολλῶν (ἴδε ***Zeller*** I ^{4}, 168 κέ) φοινικικοῦ, παράβαλλε πραγματείαν ἐκτυπωθεῖσαν ἐν τῷ δευτέρῳ τόμῳ τοῦ ***Archiv für Geschichte der Philosophie 1889.***

2) Ἐπικρατούσης ὁσημέραι τῆς δημοκρατίας, ἄνδρες ἔμφρονες μετέχοντες τῶν παρ' Ἕλλησι πολιτειῶν ὡς νομοθέται καὶ ἰθύντορες τῶν δημοσίων κατενόησαν, ὅτι ἔδει ποδηγετῆσαι τὸν λαὸν διὰ ἠθικῶν διδαγμάτων καλῶς ἐπιστάμενοι ὅτι ἄνευ ἤθους οἱ νόμοι εἰσὶ περιττοὶ καὶ εἰς οὐδὲν χρήσιμοι. Ὁ ἀριθμὸς αὐτῶν ἐξηγεῖται ἐκ τοῦ ἱεροῦ ἀριθμοῦ ἑπτά, ὃν ἔφερον αἱ ἐν Δελφοῖς ἀναγεγραμμέναι γνῶμαι αὐτῶν. Διογένης Λαέρτιος I, 40 λέγει περὶ τῶν ἑπτὰ σοφῶν: «οὔτε σοφοὺς οὔτε φιλοσόφους

πρῶται αὐτῶν ἀπόπειραι θεωροῦνται σπουδαῖαι προαγαγοῦσαι μεγάλως τὰς μετὰ ταῦτα φιλοσοφικὰς ἐρεύνας.

Τὸ ἀρχαιότατον δὲ μνημεῖον τῆς μυθικῆς παρ' Ἕλλησι κοσμολογίας ἐστὶν ἡ θεογονία[3] *τοῦ Ἡσιόδου ἀποτελοῦσα σὺν τῇ Ὁμηρείῳ ποιήσει τὴν ἱερὰν τῶν Ἑλλήνων βίβλον. Ὁ Ἡρόδοτος λίαν ὀρθῶς γράφει ἐν II, 53:* «Ἡσίοδος καὶ Ὅμηρός *εἰσιν οἱ ποιήσαντες θεογονίην Ἕλλησι καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες καὶ τιμάς τε καὶ τέχνας διελόντες καὶ εἴδεα αὐτῶν σημήναντες». Ὅτε δὲ σὺν τῷ Λέσχῃ* (*Ὀλ.* 35) *ἀποτελεσθέντος τοῦ ἡρωϊκοῦ ἀνεφάνη τὸ θεολογικὸν ἔπος, ἡ ἐξεγειρομένη φιλοσοφικὴ σκέψις τῶν ἀνθρώπων ἤρξατο προσκρούουσα εἰς τὰς ἐσωτερικὰς ἀντιφάσεις τῆς δημώδους πίστεως, ἄνδρες δὲ ἐμβριθεῖς ἐτράποντο εἰς τὰ μυστήρια, γεραρὰ λείψανα τῆς ἀρχαιοτάτης τῶν Ἑλλήνων θρησκείας. Τὰ ὀρφικὰ μυστήρα, ὥσπερ τὰ ἐλευσίνια, ἀνάγονται ἐν ταῖς ἀρχαῖς αὐτῶν εἰς τοὺς ἀρχαίους Θρᾷκας· τὰ μὲν ὀρφικὰ μυστήρια ἀνεφέροντο εἰς τὴν μυστικὴν λατρείαν τοῦ Διονύσου, τὰ δὲ ἐλευσίνια εἰς τὴν τῆς Δήμητρος καὶ Περσεφόνης. Οἱ συγγραφεῖς τῶν κλασικῶν χρόνων ὁμοθυμαδὸν μνημονεύουσιν, ὅτι ὁ Ὀρφεὺς κατέλιπε μυστικὴν λατρείαν, οὐδὲν ὅμως λέγοντες περὶ τοῦ χρόνου, καθ' ὃν ἐγένετο ἡ δωρεὰ αὕτη. Εἰσαχθέντος τοῦ Διονύσου ὡς παρέδρου τῶν ἐλευσινίων θεοτήτων ἀνεφάνη καὶ ὁ Ὀρφεὺς παρὰ τῷ Μουσαίῳ παριστάμενος ἔν τισι τῶν ὀψιαιτέρων ὀρφικῶν ποιημάτων καὶ ὡς πατὴρ αὐτοῦ, ἔχοντος πρὸς τὰ ἐλευσίνια μυστήρια ὃν λόγον ἔχει ὁ Ὀρφεὺς πρὸς τὰ ὀρφικά. Ἔγκειται δὲ ἡ ἠθικὴ σημασία τῶν μυστηρίων ἐν τῇ διδασκαλίᾳ περὶ τῆς ἀθανασίας τῆς ψυχῆς ἀπαντώσῃ παρά τε ταῖς ὀρφικαῖς καὶ ταῖς ἐλευσινίαις τελεταῖς· τῇ πίστει ταύτῃ προσήρτητο ἡ ἰδέα περὶ τῆς μετὰ θάνατον μελλούσης εὐδαιμονίας τῶν εὐσεβῶν καὶ τῶν ποινῶν τῶν ἀσεβῶν. Καθαρμὸς ἀπὸ τῶν ἁμαρτιῶν καὶ ἐλπὶς περὶ μελλούσης ζωῆς ἐκηρύσ-*

αὑτοὺς γεγονέναι, συνετοὺς δέ τινας καὶ νομοθετικούς». Πρβ. ***Ritter-Preller Histor. philos. Graecae*** 7 σελ. 2, 1888· καὶ ***Bergk, Griech. Litter.*** II σελ. 418.

3) Περὶ τῆς ἰδέας καθ' ἣν πολλαὶ θρησκευτικαὶ καὶ θεογονικαὶ παραστάσεις παρ' Ὁμήρῳ καὶ Ἡσιόδῳ ἀναμιμνήσκουσιν ἀνατολικὰς παραδόσεις πρβ. ***Ueberweg, Geschichte der Philosophie*** I[5], 28 καὶ ***Christ, Griech. Litter.*** I, 72 σημ. 1.

σετο τοῖς μετέχουσι τῶν μυστηρίων τούτων, παρὰ δὲ τοῖς ὀρφικοῖς ὑπῆρχε καὶ αὐστηρὸς ἀσκητικὸς βίος (βίος ὀρφικός). Ἡ ἀπαγόρευσις τῆς χύσεως αἵματος ἐπάγεται ἀναιμάκτους θυσίας καὶ ἀποχὴν κρεωφαγίας (Ἀριστοφαν. Βατρ. 1032 *κέ. Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι, Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς...). Τῇ διδασκαλίᾳ ταύτῃ περὶ ἀποχῆς φόνου παντὸς ἐμψύχου συνδέεται ἡ περὶ μετεμψυχώσεως. Ἀλλὰ καὶ ἀμυδρὰ ἰδέα περὶ ἑνὸς θεοῦ*[4] *διεφυλάχθη ἐν τοῖς μυστηρίοις κατὰ πάντας τοὺς χρόνους οὐδενὸς πολέμου κηρυχθέντος πρὸς τὴν τοῦ λαοῦ πολυθεΐαν καὶ οὐδεμιᾶς ἔχθρας ὑπαρχούσης τῶν μυστηρίων πρὸς τὴν θρησκείαν τοῦ κράτους.*

*Ὥσπερ δὲ αἱ διδασκαλίαι τῶν ἐλευσινίων μυστηρίων διὰ τῶν ποιήσεων τοῦ Μουσαίου γεννηθεισῶν ἐν Ἀττικῇ κατὰ τοὺς χρόνους τοῦ Ἐπιμενίδου ἢ καὶ ὀλίγῳ πρότερον (**Bergk** σελ. 79 II) καταστᾶσαι γνωσταὶ ἀνὰ τὴν Ἑλλάδα ἀπέλαυον μεγίστου σεβασμοῦ*[5]*, οὕτω μετ' οὐ πολὺ ἀνέλαβεν ὁ Ὀνομάκριτος τὴν διάδοσιν τῶν ὀρφικῶν ποιημάτων, ἅτινα γνωστὰ τέως εἰς ὡρισμένον κύκλον μεμυημένων ὠνομάζοντο ἀπόκρυφα, ἀπόθετα ἤτοι πόρρω τῶν ὀφθαλμῶν τῶν*

---

4) Πρβ. ***Bergk, Griech Litter. II, 82*** ἀνάγοντα τὴν ἀρχὴν τοῦ εἰς Δία τερπανδρείου ὕμνου 1. Ζεῦ πάντων ἀρχά, πάντων ἀγήτωρ: εἰς ὀρφικὰς διδασκαλίας. Ὅτι ὅμως ἡ ἰδέα περὶ ἑνὸς θεοῦ ἐδιδάσκετο ἐν τοῖς μυστηρίοις κατὰ τὸ πνεῦμα τοῦ Ἰουδαϊσμοῦ καὶ Χριστιανισμοῦ εἶναι παντάπασιν ἡμαρτημένον· ***Zeller*** 1 4, 51. Τὴν περὶ ἁμαρτίας καὶ ἐξαγνισμοῦ αὐτῆς, ἀθανασίας τῆς ψυχῆς καὶ περὶ ἑνὸς ἀπείρου θεοῦ ἰδέαν εἶχον τὰ μυστήρια κοινὴν πρὸς τὸν χριστιανισμόν. Ἀλλὰ παρὰ μὲν τοῖς μυστηρίοις καθισταμένων ὁσημέραι διὰ τῶν ἀλληγορικῶν συμβόλων καὶ τῶν δεισιδαιμονιῶν τῶν ἰδεῶν τούτων ἀμυδροτέρων, ἡ ὑπόστασις τῶν περὶ θεοῦ καὶ ἠθικῆς ὑψηλῶν ἰδεῶν τοῦ χριστιανισμοῦ ἦν τοιαύτη, ὥστε ὡς τομωτάτη ἀξίνη κατέρριψε τὸ ἀπὸ πολλοῦ σεσηπὸς ἤδη δένδρον τῆς ἀρχαίας θρησκείας· πρβ. ***Pauly Real-Encyclopädie*** τομ. 5, 335 κέ.

5) Τὰ ἐλευσίνια μυστήρια διαφυλάξαντα μᾶλλον τῶν ὀρφικῶν τὸν πρωτόγονον αὐτῶν χαρακτῆρα ἐτιμῶντο καὶ μετὰ ταῦτα, ὅτε οὐδεὶς σχεδὸν σπουδαῖος ἀνὴρ ἐκήδετο τῶν ὀρφικῶν, ὑπὸ τῶν πρώτων τῶν Ἑλλήνων, οἷον Πινδάρου, Αἰσχύλου, Σοφοκλέους πρβ. ***Pauly Real-Encyclopädie*** τόμ. 5. σελ. 335.

πολλῶν κείμενα· περὶ τὰ τέλη τῆς 7ης ἑκατονταετηρίδος π. Χ. ἐκδηλωθείσης πανταχοῦ τῆς Ἑλλάδος τάσεως πρὸς ἀνακαίνισιν τοῦ θρησκευτικοῦ καὶ ἠθικοῦ βίου προῆλθε καὶ ἡ ὀρφικὴ διδασκαλία εἰς τὸ μέσον ἐκ τοῦ σκότους, ἐν ᾧ μέχρι τοῦδε διέμεινε, καταστᾶσα κτῆμα κοινόν. Οὕτω δὴ ἡ ἐν τῷ πνεύματι τοῦ αἰῶνος ἐμφιλοχωροῦσα ῥοπὴ πρὸς βίον θρησκευτικὸν καὶ ἀσκητικὸν ἐπήγαγε τὴν ἀναζωογόνησιν τῆς τῶν ὀρφικῶν μυστηρίων ἀναμνήσεως παρὰ τῷ λαῷ, ὁ δὲ Ὀνομάκριτος 6 *(γενν. περὶ τὴν 50ην Ὀλυμπιάδα) ἑπόμενος τῷ πνεύματι τούτῳ ἤγειρεν ἐπὶ τῶν ἀρχαίων βάσεων τῆς ὀρφικῆς σοφίας νέον οἰκοδόμημα ἔχων βοηθοὺς καὶ συνεργάτας τὸν Κροτωνιάτην Ὀρφέα καὶ τὸν Ἡρακλεώτην Ζώπυρον. Τὸ ὑπὸ τοῦ Ὀνομακρίτου ἀρξάμενον ἔργον διεδέξαντο ἕτεροι, μάλιστα δὲ οἱ Πυθαγόρειοι καὶ οὕτω ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου, ὅτε αὐξηθείσης τῆς δεισιδαιμονίας καὶ ἀπιστίας προθύμως οἱ ἄνθρωποι ἔρρεπον εἰς συμβολικὰς καὶ μυστικὰς διδασκαλίας, ἐκυκλεῖτο ὁρμαθὸς ψευδῶν ποιημάτων φερόντων τὸ ὄνομα τοῦ Ὀρφέως (πρβ. Εὐριπίδου Ἱππολ.* 953 *κέ: ἤδη νῦν αὔχει καὶ δι' ἀψύχου βορᾶς σίτοις καπήλευε ὀρφέα τ' ἄνακτα ἔχων βάκχευε, πολλῶν γραμμάτων τιμῶν καπνούς· ἐπεί γ' ἐλήφθης· τοὺς δὲ τοιούτους ἐγὼ φεύγειν προφανῶ πᾶσι· θηρεύουσι γὰρ σεμνοῖς λόγοισιν αἰσχρὰ μηχανώμενοι. Καὶ Πλάτωνος πολιτ. ΙΙ,* 364: *βίβλων ὁρμαθὸν παρέχονται Μουσαίου καὶ Ὀρφέως, Σελήνης τε καὶ Μουσῶν ἐγγόνων, ὥς φασι, καθ' ἃς θυηπολοῦσι πείθοντες οὐ μόνον ἰδιώτας, ἀλλὰ καὶ πόλεις). Πλὴν τοῦ Ὀνομακρίτου καὶ τῶν δύο εἰρημένων ἑταίρων αὐτοῦ μετέσχον τῆς παραποιήσεως τῆς ἀποκρύφου ταύτης ποιήσεως Βροντῖνος ὁ Μεταπόντιος, μαθητὴς τοῦ Πυθαγόρου, Ὀρφεὺς* 7 *ὁ Καμαριναῖος, διάφορος τοῦ Κροτωνιάτου, καὶ νεώτερος αὐτοῦ, Ἡρόδικος ὁ Περίνθιος, Νικαίας ὁ Ἠλεῖος, Περσῖνος ὁ Μιλήσιος, Τιμοκλῆς ὁ Συρακόσιος, Θεόγνητος ὁ Θεσ-*

---

6) Ὀνομάκριτος ὁ Ἀθηναῖος τιμώμενος λίαν ὑπὸ τοῦ Πεισιστράτου καὶ τῶν υἱῶν αὐτοῦ καὶ ἐπιτραπεὶς τὴν συλλογὴν τῶν χρησμῶν τοῦ Μουσαίου ἐξηλάσθη κατὰ τὸν Ἡρόδοτον *(VII, 6)* ὑπὸ Ἱππάρχου ἐξ Ἀθηνῶν ἐπ' αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου ἐμποιέων εἰς τὰ Μουσαίου χρησμόν.

7) Οὗτός τε ὁ Ὀρφεὺς καὶ ὁ Κρωτονιάτης ὠνομάσθησαν ἴσως οὕτω ἅτε μετασχόντες τῆς συντάξεως τῆς ὀρφικῆς ποιήσεως.

σαλός, Κέρκωψ ὁ Πυθαγόρειος, ὁ Ἑλλάνικος καὶ εἴ τινες ἄλλοι, ὧν τὰ ὀνόματα οὐ παρεδόθησαν ἡμῖν. Πάντες οὗτοι φέροντες τὸ προσωπεῖον τοῦ Θρᾳκὸς ἀοιδοῦ ἐξήγγειλλον τὴν ἑαυτῶν σοφίαν ὑπὸ τῷ ὀνόματι τοῦ Ὀρφέως. Κατ' ἀρχὰς ἡ ἀπάτη ἐπέτυχεν, ὕστερον ὅμως ἡ κριτικὴ ἀνεκάλυψε τὴν ἀλήθειαν καὶ ἤδη ὁ Ἡρόδοτος (II, 53) ἀποδοκιμάζει πᾶσαν ταύτην τὴν προομήρειον δῆθεν ποίησιν ὡς νεώτερον σκευώρημα. Ὁ Πλάτων γεραίρει μὲν τὸ ὄνομα καὶ τὴν σοφίαν τοῦ Ὀρφέως ποιούμενος πολλάκις μνείαν αὐτῶν (Ἀπολογ. 41, *Α' ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν ὑμῶν. Θεαιτ.* 179 *περὶ τούτων τῶν ἡρακλειτείων ἢ ὥσπερ σὺ λέγεις ὁμηρείων καὶ ἔτι παλαιοτέρων=ὀρφικῶν), προπηλακίζων*[8] *ὅμως τὸν βίον τῶν καθ' ἑαυτὸν ὀρφεοτελεστῶν πολιτ.* (*II*, 364), *οἵτινες ἔχοντες δῆθεν τὰ ἔργα τοῦ ἀρχηγέτου ἐδωροῦντο ἐπὶ χρήμασιν οὐ μόνον τοῖς ζῶσιν, ἀλλὰ καὶ τοῖς θανοῦσιν ἄφεσιν ἁμαρτιῶν, μηνύει ἀρκούντως, ὅτι οὐχὶ γνήσια ὑπελάμβανε πάντα τὰ ποιήματα, ἅτινα περιῆγον οὗτοι οἱ ἐπ' αὐτοῦ μάντεις καὶ ἀγύρται. Ὁ Ἀριστοτέλης (περὶ ψυχῆς I, 5 καὶ II, 2 πρβ. καὶ Κικέρωνος* **de nat. deor.** *I, 38) διατελῶν σκεπτικὸς φαίνεται ὅτι ἠρνήσατο καὶ τὴν ὕπαρξιν τοῦ Ὀρφέως, μόνοι δὲ οἱ Στωϊκοὶ ἀνεύρισκον ἐν τῇ ὀρφικῇ, ὥςπερ ἐν τῇ ὁμηρείῳ καὶ ἡσιοδείῳ ποιήσει, πίστωσιν τῆς ἑαυτῶν διδασκαλίας. Δυνάμεθα παρακολουθῆσαι τοῖς ἴχνεσι τῆς τοιαύτης παραποιήσεως μέχρι Ἀριστοτέλους, ὅτε ἡ ὀρφικὴ λατρεία ἐξαφανίζεται, διότι, ὥσπερ ἐν Ρώμῃ καὶ Ἰταλίᾳ κατεπολε-*

---

8) Ἄξιον παραθέσεως νομίζομεν ὁλόκληρον τὸ χωρίον τοῦ Πλάτωνος ἔχον ὧδε: ἀγύρται καὶ μάντεις ἐπὶ πλουσίων θύρας ἰόντες πείθουσιν, ὡς ἔστι παρὰ σφίσι δύναμις ἐκ θεῶν ποριζομένη θυσίαις τε καὶ ἐπῳδαῖς εἴτε τι ἀδίκημα γέγονεν αὐτοῦ ἢ προγόνων, ἀκεῖσθαι μεθ' ἡδονῶν τε καὶ ἑορτῶν, καὶ ἐάν τινα ἐχθρὸν πημῆναι ἐθέλῃ, μετὰ σμικρῶν δαπανῶν ὁμοίως δίκαιον ἀδίκῳ βλάψει ἐπαγωγαῖς τισι καὶ καταδεσμοῖς τοὺς θεούς, ὥς φασι, πείθοντες σφίσιν ὑπηρετεῖν — βίβλων δὲ ὁρμαθὸν παρέχονται Μουσαίου καὶ Ὀρφέως, καθ' ἃς θυηπολοῦσι πείθοντες οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ πόλεις, ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων διὰ θυσιῶν καὶ παιδιᾶς ἡδονῶν εἰσι μὲν ἔτι ζῶσιν, εἰσὶν δὲ καὶ τελευτήσασιν, ἃς δὴ τελετὰς καλοῦσιν, αἱ τῶν ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς, μὴ θύσαντας δὲ δεινὰ περιμένει.

μήθη ὑπὸ τῆς πολιτείας ἡ κατάχρησις καὶ παρεκτροπὴ τῶν βακχικῶν μυστηρίων, οὕτως ἐπήγαγεν καὶ ἐν Ἑλλάδι ἡ ἐξαλλοίωσις τῶν ὀρφικῶν ὁμοίαν ἀπαγόρευσιν, καταστάντων νῦν ἀντικείμενον φιλολογικῶν ἐρευνῶν[9] *καὶ ἐχουσῶν ἕδραν τὴν Ἀλεξάνδρειαν· πρβ.* ***Pauly Real-Encyclopädie*** *τομ.* ***V*** *σελ.* 998 *κέ. Ἐκ τῶν ἀλεξανδρινῶν χρόνων κατάγονται νέα προϊόντα τῆς ἀποκρύφου ταύτης φιλολογίας, ἀλλ' ἡ παραποίησις ἦν πολλῷ μείζων ἀπὸ τῆς* 2 *μ. Χ. ἑκατονταετηρίδος, ὅτε ἀνεφάνη ὁ Νεοπλατωνισμός, οἱ δὲ ἄνθρωποι τραπόμενοι πάλιν εἰς τὴν ὀρφικὴν διδασκαλίαν καὶ μὴ ἀρκούμενοι εἰς τὰ μέχρι τοῦδε ποιήματα, ἅτινα αὐθαιρέτως ἑρμηνευόμενα ἀπέλαυον ἴσης τιμῆς παρά τε τοῖς χριστιανοῖς καὶ ἐθνικοῖς, συνέταττον καὶ ἕτερα νέα. Εἰς τὴν τελευταίαν ταύτην περίοδον ἀνάγονται τὰ τρία διασωθέντα ἡμῖν ποιήματα, Ὕμνοι, Ἀργοναυτικά, Λιθικά.*

Οἱ δὲ τῶν μυστηρίων προεστῶτες ἐτράποντο, ὡς εἰκός, πρωϊαίτατα εἰς θεογονικοὺς μύθους. Ἐπιμενίδης ἐκ Κρήτης, τῆς ἀρχαίας ἕδρας τῆς τῶν Ἰδαίων μυστηρίων Λατρείας, ἀναφαίνεται ὡς τεράστιος ἀνὴρ κοινωνῶν τοῖς θεοῖς καὶ ἀπολαύων μεγίστης ὑπολήψεως παρά τε τοῖς συγχρόνοις καὶ τοῖς μεταγενεστέροις. Τὸν σκοτεινὸν αὐτοῦ βίον διαφωτίζει ἀκτὶς παραδόσεως, καθ' ἣν λέγεται ὅτι τὴν 46 *Ὀλυμπιάδα* (=596 *π. Χ*) *ἐξαγνίσας τὰς Ἀθήνας τοῦ κυλωνείου ἄγους εἶτα δὲ ἐπανελθὼν ἐπ' οἴκου ἐτελεύτησεν μετ' οὐ πολύ. Οὕτω τοίνυν ἡ ποιητικὴ αὐτοῦ ἀκμὴ ἀνάγεται περὶ τὸ τελευταῖον ἥμισυ τῆς* 7ης *ἑκατονταετηρίδος, ὅτε ἀπολήξαντος τοῦ ἡρωϊκοῦ ἔπους σὺν τῷ Λέσχῃ* (Ὀλ. 30) *ἀνεφάνη, ὡς εἴδομεν, ἡ μυστικὴ ποίησις. Παρὰ Στράβωνι* (*X*, 479) *μνημονεύονται αὐτοῦ ποιήματα περὶ καθαρμῶν, χρησμῶν, ἔτι δὲ καὶ περὶ θεογονίας παραδίδωσι Λαέρτιος Διογένης* (*I*, 111: *ἐποίησε Κουρήτων καὶ Κορυβάντων γένεσιν καὶ θεογονίην ἔπη πεντακισχίλια, ἐννοητέον ἓν ποίημα, τὴν θεογονίαν, οὐχὶ δὲ δύο ἔργα κορυβάντων γένεσιν καὶ θεογονίαν*) *ἐν ᾗ ὁ ἀὴρ καὶ ἡ νὺξ τίθενται ἐπὶ κορυφῆς τῆς δημιουργίας· ἐκ τοῦ συνδέσμου*

---

9) Ἐπιγένης ἀρχαιότερος τοῦ Καλλιμάχου ἀνέλαβε τὴν φιλολογικὴν κατάταξιν τῶν ὀρφικῶν ποιημάτων γράψας περὶ τῆς εἰς Ὀρφέα ἀναφερομένης ποιήσεως καὶ ὁρίζων καὶ τὸν ἐργάτην ἑνὸς ἑκάστου τῶν ὀρφικῶν ποιημάτων. Πρβ. ***Lobeck Aglaopham*** *339* κέ, ἔτι δὲ καὶ ***Christ, Griech. Litteratur.*** *582* κέ.

*τῶν δύο τούτων δυνάμεων γεννᾶται ὁ Τάρταρος, ἐξ αὐτοῦ δύο ἕτερα ὄντα, ὧν ἐκ τῆς συμμίξεως γεννᾶται τὸ ᾠὸν τοῦ κόσμου, ἰδέα ἀρχαία ἥτις ὑπολαμβάνουσα τὴν γένεσιν τοῦ κόσμου ἀνάλογον πρὸς τὴν ζωϊκὴν γέννησιν διεμορφώθη εἶτα παρὰ τοῖς ὀρφικοῖς· ἐκ τοῦ ᾠοῦ προῆλθον ἕτερα ὄντα. Τὸ περιεχόμενον τῆς κοσμογονίας ταύτης φαίνεται οὐχὶ σπουδαῖον, τὸ αὐτὸ δὲ ῥητέον καὶ περὶ τῆς Ἀκουσιλάου κοσμογονίας παραδεχομένης γεννηθέντα ἐκ τοῦ χάους τὸ ἔρεβος καὶ τὴν νύκτα, ἐξ αὐτῶν δὲ τὸν αἰθέρα, τὸν ἔρωτα, τὴν μῆτιν καὶ μέγα πλῆθος ἄλλων θεῶν. Παρερχόμενοι ἕτερα ἴχνη ἄλλων κοσμογονιῶν (πρβ. **Brandis I, 86**) λέγομεν, ὅτι κοσμογονικὰς παραστάσεις φερούσας τὸ ὄνομα τοῦ Ὀρφέως γινώσκομεν τέσσαρας. Ἡ μία τῶν ὀρφικῶν τούτων θεογονιῶν, ἣν εἶχε πρὸ ὀφθαλμῶν ὁ περιπατητικὸς Εὔδημος (παρὰ Δαμασκίῳ κεφ.* 124 *σελ.* 382) *καὶ πρὸ τοῦ Εὐδήμου ὁ διδάσκαλος αὐτοῦ Ἀριστοτέλης (Μετ. XII*, 6, 1071 ^{b}, 25), *ἔτι δὲ πρὸς τούτοις καὶ ὁ Πλάτων (Κρατύλ.* 402 *Β, πρβ.* **Schuster De vet. orphicae Theogoniae indole** *σελ.* 4 *κἑ* 1869) *τίθησιν ὡς πρῶτον τὴν Νύκτα καὶ παρ' αὐτῇ τὸν ἔρωτα καὶ τὸν οὐρανὸν (πρβ.* **Lobeck Aglaophanus I, 494**) *γεννηθέντας ἐκ τῆς Νυκτός, ὡς παρ' Ἡσιόδῳ ἡ γῆ γεννᾶται ἐκ τοῦ χάους, ἀνθ' οὗ ἐν ταύτῃ τῇ ὀρφικῇ θεογονίᾳ διαφερούσῃ ὀλίγον τῆς Ἡσιοδείου, ἔχομεν τὴν Νύκτα. Ἐκ τοῦ οὐρανοῦ καὶ τῆς γῆς γεννᾶται, ὁ Ὠκεανὸς καὶ ἡ Θέτις (Πλατ. Κρατύλ.* 402 *Β, τιμαί.* 40 *Δ). Δευτέραν θεογονίαν ἀπομίμησιν, ἴσως δὲ καὶ βάσιν τῆς Φερεκυδείου διηγήσεως περὶ τῆς τῶν θεῶν μάχης εἶχεν ὁ Ἀπολλώνιος (Ἀργον. I,* 494 *κἑ) ἔνθα ποιεῖ τὸν Ὀρφέα ᾄδοντα, ὅτι ἐν ἀρχῇ ἐκ τῆς μίξεως τῶν ὄντων διακριθέντων τῆς γῆς, τοῦ οὐρανοῦ καὶ τῆς θαλάσσης, ὁ ἥλιος, ἡ σελήνη καὶ οἱ ἀστέρες ἔλαβον τὰς ἑαυτῶν τροχιάς, ὅτι ἀνεφάνησαν ὄρη, ποταμοὶ καὶ ζῷα, καὶ ὅτι κατὰ πρῶτον ὁ Ὀφίων καὶ ἡ Ὠκεανὶς Εὐρυνόμη ἄρχοντες ἐν Ὀλύμπῳ ἐβλήθησαν εἰς τὸν ὠκεανὸν ὑπὸ τοῦ Κρόνου καὶ τῆς Ῥέας, ἐκθρονισθέντων τέλος καὶ τούτων ὑπὸ τοῦ Διός. Καὶ ἐνταῦθα οὐδὲν φιλοσοφικὸν ἴχνος, ὡς παρ' Ἡσιόδῳ, παρατηρεῖται. Τρίτη ὀρφικὴ κοσμογονία (παρὰ Δαμασκίῳ* 381. *Ἀθηναγόρᾳ πρεσβ. κ.* 15 (18) *ἐτίθη ἐν ἀρχῇ τοῦ κόσμου τὸ ὕδωρ καὶ τὸν πρῶτον πηλὸν (ἰλύν), ὅστις πυκνωθεὶς ἐγένετο γῆ. Ἐκ τούτων γεννᾶται Δράκων ἔχων πτέρυγας ἐπὶ τῶν ὤμων καὶ πρόσωπον θεοῦ, ἀμφοτέρωθεν δὲ κεφαλὴν λέοντος καὶ ταύρου, καλούμενος Ἡρακλῆς ἢ Χρό-*

νος ἀγήρως, ᾧτινι συνεδέδετο ἡ Ἀνάγκη ἢ Ἀδράστεια διήκουσα ἀσωμάτως διὰ τοῦ σύμπαντος. Ὁ Χρόνος Ἡρακλῆς γεννᾷ πελώριον ᾠὸν (πρβ. Aglaoph. I, 485 κέ) ὅπερ διχασθὲν ἀπετέλεσε διὰ τοῦ ἑνὸς ἡμίσεος τὸν οὐρανόν, διὰ δὲ τοῦ ἑτέρου τὴν γῆν· εἶτα φαίνεται ὅτι ἐγίνετο λόγος περὶ ἑνὸς Θεοῦ ἔχοντος χρυσᾶς πτέρυγας, ἐπὶ τῆς ὀσφύος κεφαλὰς ταύρου, ἐπὶ δὲ τῆς κεφαλῆς τερατώδη ὄφιν λαμβάνοντα μορφὴν διαφόρων θηρίων. Ὁ Θεὸς οὗτος δηλούμενος ὑπὸ τοῦ Δαμασκίου ὡς ἀσώματος ὀνομάζεται πρωτόγονος ἢ Ζεύς, ἔτι δὲ καὶ Πᾶν ὡς διακοσμητὴς τοῦ σύμπαντος. Ἐν τῇ θεογονίᾳ ταύτῃ οὐ μόνον ἡ συμβολική ἐστιν μᾶλλον περίπλοκος ἢ παρὰ τῷ Εὐδήμῳ, ἀλλὰ καὶ αἱ ἰδέαι διάφοροι τῶν μέχρι τοῦδε ἐρευνηθεισῶν Θεογονιῶν Τὸ ἀσώματον τῆς Ἀδραστείας καὶ τοῦ Διὸς μηνύει διάκρισιν τοῦ πνευματικοῦ καὶ ὑλικοῦ ἀλλοτρίαν τῆς φιλοσοφίας μέχρι Ἀναξαγόρου, ἡ δὲ ἐξάπλωσις τῆς Ἀδραστείας διὰ τοῦ σύμπαντος ἀναμιμνήσκει τὴν πλατωνικὴν διδασκαλίαν περὶ τῆς παγκοσμίου Ψυχῆς, ἔτι δὲ πρὸς τούτοις καὶ ἐν τῇ παραστάσει τοῦ Διὸς ὡς Πανὸς παρατηροῦμεν πανθεϊσμόν, οὗτινος τὰ σπέρματα ὑπῆρχον μὲν ἀνέκαθεν ἐν τῇ φιλοσοφίᾳ τῶν Ἑλλήνων, ἀλλ' ὅμως ἡ συστηματικὴ αὐτοῦ διαμόρφωσίς ἐστιν ἔργον τῶν Στωϊκῶν. Ἐὰν ἡ κοσμογονία αὕτη προὔκειτο κατὰ τὴν συνήθη γνώμην ἤδη Ἑλλανίκῳ τῷ Λεσβίῳ περὶ τὰ μέσα τῆς 5ης ἑκατονταετηρίδος, τότε ὁμολογητέον, ὅτι πολλαὶ ἰδέαι ἀναφαινόμεναι ὀψιαίτερον ἐν τῇ ἑλληνικῇ φιλοσοφίᾳ ἀνακτέαι εἰσὶν εἰς προγενεστέραν χρονικὴν περίοδον, ὅπερ ἀποδοκιμάζει ὁ Λοβέκκιος (I, 485 κέ) καὶ ὁ Müller (Fragm. Hist gr. I, XXX) ἀποφαίνων τὴν τρίτην ταύτην θεογονίαν μεταγενεστέραν τοῦ Λεσβίου λογογράφου, ᾧτινι καὶ ἄλλα ἔργα ὀψιαίτερα αὐτοῦ ὑποβληθέντα ἐκυκλοῦντο. Ἀρχαιοτέραν ὑπολαμβάνει ὁ Λοβέκκιος (Aglaoph. 405 κέ) τετάρτην παράστασιν θεογονίας, ἣν ὁ Δαμάσκιος καλεῖ συνήθη (κεφ. 123. σελ. 380· τοιαύτη μὲν ἡ συνήθης ὀρφικὴ θεολογία. . . .), ἐξ ἧς ἱκανὰ ἀποσπάσματα διεσώθησαν ἡμῖν. Τὸ πρῶτον ἐν τῇ θεογονίᾳ ταύτῃ ἐστὶν ὁ χρόνος, ὅς τις γεννήσας τὸν αἰθέρα καὶ τὸ χάος ἀποτελεῖ εἶτα ἐκ τούτων ᾠόν, ἐξ οὗ σχισθέντος ἐκθρώσκει περιλαμπὴς ὁ πρωτόγονος θεὸς Φάνης ὀνομαζόμενος καὶ Μῆτις καὶ Ἔρως καὶ Ἐρικαπαῖος καὶ περικλείων ἐν ἑαυτῷ τὰ σπέρματα πάντων τῶν θεῶν, δι' ἣν αἰτίαν δηλοῦται ὡς ἀρσενοθήλυς κεχορηγημένος διαφόροις κεφαλαῖς ζῴων καὶ ἄλλοις τοιούτοις σημείοις. Ὁ Φάνης γεννᾷ ἐξ

ἑαυτοῦ τὴν ἔχιδναν ἢ τὴν νύκτα, μετὰ τῆς νυκτὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τοὺς ἀρχηγέτας τοῦ μέσου γένους τῶν θεῶν, ὧν ἡ γενεαλογία ἱστορεῖτο ὡς ἐπὶ τὸ πλεῖστον κατὰ τὸν Ἡσίοδον. Καταστὰς εἰς τὴν ἀρχὴν μετὰ τὸν Οὐρανὸν καὶ Κρόνον ὁ Ζεὺς καταπίνει τὸν Φάνητα γενόμενος οὕτω ἡ ἀρχὴ πάντων τῶν ὄντων, οἷος παρίσταται ἐν ταῖς ἐπὶ τῶν Ἀλεξανδρινῶν χρόνων ἀναφανείσαις ὀρφικαῖς διδασκαλίαις, ὡς ἀπεφήνατο ὁ **Zeller** I⁴, 51 κἑ. Συγχωνεύσας ὁ Ζεὺς τὰ πάντα ἐν ἑαυτῷ ἐξάγει πάλιν αὐτὰ παράγων τοὺς θεοὺς τοῦ τελευταίου γένους καὶ δημιουργῶν τὸν κόσμον. Ἄξιον δὲ λόγου ἐστὶ καὶ τὸ ἱστορούμενον περὶ Διονύσου Ζαγρέως, υἱοῦ τοῦ Διὸς καὶ τῆς Περσεφόνης, ὅς τις διασπαραχθεὶς ὑπὸ τῶν Τιτάνων ἀναζῇ πάλιν ἐν τῷ δευτέρῳ Διονύσῳ. Εἰ καὶ ἡ θεογονία αὕτη κατὰ τὴν γνώμην τοῦ **Lobeck**, ἣν οὐχὶ ἀνενδοιάστως προφέρεται (*Aglaophan*. σελ. 611) ἀνάγεται εἰς τοὺς χρόνους τοῦ Ὀνομακρίτου, πολλοὶ ὅμως ἐναντιοῦνται εἰς τοιαύτην ἐκδοχήν. Αἱ περὶ τῆς τετάρτης ταύτης θεογονίας μαρτυρίαι τῶν ἀρχαίων οὐκ εἰσὶ ἀρχαιότεραι τῆς ὑπὸ τοῦ Εὐδήμου μνημονευομένης θεογονίας. Ἐπειδὴ δὲ ὁ Πλάτων ἐν τῷ συμποσίῳ (178 B) πραγματευόμενος περὶ τῆς ἡλικίας τοῦ ἔρωτος οὐ μνημονεύει τὸν Ὀρφέα, εἰκάζεται ὅτι ἠγνόει τὴν διδασκαλίαν τῆς θεογονίας ταύτης περὶ τοῦ ἔρωτος Φάνητος. Οὕτω τοίνυν οἱ πλεῖστοι τῶν νεωτέρων ὁμογνωμονοῦντες τῷ **Zoega** (*Abhandlungen, herausgegeben von Welcker* σελ. 215 κἑ.) καὶ **Preller** (*Pauly Real-encycl.* τόμ. V, σελ. 999) ἀποδέχονται, ὅτι ἡ τετάρτη θεογονία ἤχθη εἰς φῶς μετὰ τὸν Πλάτωνα, Ἀριστοτέλη καὶ τὸν μαθητὴν αὐτοῦ Εὔδημον [10]. Σημειωτέον δὲ ὑπὲρ τῆς γνώμης ταύτης, ὅτι πολυμαθὴς μυθογράφος, οἷος ἦν ὁ Ἀπολλώνιος οὐκ ἂν ἐτίθη πρώτους ἄρχοντας τοῦ κόσμου τὸν Ὀφίωνα καὶ τὴν Εὐρυνόμην, δευτέρους δὲ τὸν Κρόνον καὶ τὴν Ῥέαν, εἰ ἡ ἐπ' αὐτοῦ ὀρφικὴ παράδοσις ἐγίνωσκε τὸν Φάνητα καὶ τοὺς ἀρχαιοτέρους θεούς. Ὁ Φάνης δὲ (ὁ Λάμπων) οὐδὲν ἕτερόν ἐστι ἢ τὸ ὄνομα τοῦ μετὰ ταῦτα ἀναφανέντος θεοῦ Ἡλίου, δηλοῦται δὲ διὰ τοῦ Φάνητος ὁ ὀψιαίτερος πανθεϊσμός, ὅς τις ἀναφανεὶς κατὰ τὰς ἀρχὰς τῆς τρίτης π. Χ. ἑκατονταετηρίδος διεμορφώθη εἰς σύ-

---

10) Πρβ. ὅμως καὶ **Brandis, Gesch. der griechisch-römischen Philosophie I, 59** τεκμαιρόμενον, ὅτι τὰ κύρια στοιχεῖα τῆς θεογονίας ταύτης εἰσὶ οὐχὶ νεώτερα τοῦ Ὀνομακρίτου.

στημα ὑπὸ τῶν Στωϊκῶν. Κατὰ τοὺς χρόνους τούτους ἀνακτέον καὶ τὴν διασκευὴν τῆς τετάρτης ταύτης θεογονίας. Εἰς ἐπινόησιν δὲ τοῦ Φάνητος συνεβάλετο ὁ Ἡσιόδειος μῦθος περὶ τῆς ὑπὸ τοῦ Διὸς γενομένης καταπόσεως τῆς Μήτιος δηλῶν ἐν ἀτελεῖ συμβολικῇ παραστάσει τὴν νοητὴν φύσιν τοῦ ὑπάτου τῶν θεῶν.

Τοσαῦτα μὲν περὶ μυστηρίων καὶ τῶν κοσμογονιῶν αὐτῶν, ἐκ δὲ τῶν προμνημονευθεισῶν τεσσάρων ὀρφικῶν κοσμογονιῶν μόνη ἡ πρώτη ἀνάγεται εἰς τὴν 6 π. Χ. ἑκατονταετηρίδα. Καλῶν δὲ ὁ Ἀριστοτέλης τοὺς ἀπὸ Ὁμήρου μέχρι τῆς 6 ἑκατονταετηρίδος γράψαντας Θεογονίας «ἐκ νυκτὸς γεννῶντας Θεολόγους» (Μεταφ. 1072, 6 ὡς λέγουσιν οἱ ἐκ νυκτὸς γεννῶντες Θεολόγοι) καὶ «ἀρχαίους ποιητὰς» (Μεταφ. 1091, 4 οἱ δὲ ποιηταὶ οἱ ἀρχαῖοι[11] *ταύτῃ ὁμοίως, ᾗ βασιλεύειν καὶ ἄρχειν [= εἶναι ἀρχάς,* **principia esse**] *φασὶν οὐ τοὺς πρώτους, οἷον Νύκτα καὶ οὐρανὸν ἢ χάος ἢ ὠκεανόν, ἀλλὰ τὸν Δία) εὐθὺς προϊὼν ποιεῖται διάκρισιν ὀνομάζων τοὺς ἀποτελοῦντας μέσον τῶν Θεολόγων (ἀρχαίων ποιητῶν) καὶ φιλοσόφων «μεμιγμένους καὶ μὴ μυθικῶς ἅπαντα λέγειν» (οὐ μὴν ἀλλὰ τούτοις μὲν διὰ τὸ μεταβάλλειν τοὺς ἄρχοντας τῶν ὄντων συμβαίνει τοιαῦτα λέγειν, ἐπεὶ οἵ γε μεμιγμένοι αὐτῶν καὶ μὴ μυθικῶς ἅπαντα λέγειν, οἷον Φερεκύδης καὶ ἕτεροί τινες, τὸ γεννῆσαν πρῶτον ἄριστον τιθέασι, καὶ οἱ Μάγοι, καὶ τῶν ὑστέρων δὲ σοφῶν, οἷον Ἐμπεδοκλῆς τε καὶ Ἀναξαγόρας, ὁ μὲν τὴν φιλίαν στοιχεῖον, ὁ δὲ τὸν νοῦν ἀρχὴν ποιήσας). Καλούμενος τοίνυν ὁ Φερεκύδης ὑπὸ τοῦ Ἀριστοτέλους μεμιγμένος ἤτοι ἀποτελῶν τὸ μεταίχμιον τῶν ἀρχαίων ποιητῶν καὶ τῶν μετὰ ταῦτα φιλοσόφων συνέγραψε Θεογονίαν, διασῳζομένην ἐπὶ Κέλσου*[12] *καὶ*

---

11) Ποίους ἀρχαίους ποιητὰς ἐννοεῖ ὁ Ἀριστοτέλης ὑπεμφαίνει ἡ ρῆσις «οἷον νύκτα καὶ οὐρανὸν ἢ χάος ἢ ὠκεανόν». Ἐκ τούτων τῶν ἀρχῶν τὸ χάος ἀναφέρεται εἰς Ἡσίοδον (Θεογ. 116 κέ. πάντων μὲν πρώτιστα χάος γένετ' αὐτὰρ ἔπειτα Γαῖ' εὐρύστερνος κτλ.), ὁ ὠκεανὸς εἰς Ὅμηρον (Ἰλ. ***XIV 201***: ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν· 240: ὠκεανός, ὅσπερ γένεσις πάντεσσι τέτυκται) ἡ δὲ νὺξ καὶ οὐρανὸς εἰς ἑτέραν θεογονίαν καὶ κατὰ πάντα πιθανὸν λόγον εἰς τὴν ὑπὸ τοῦ μαθητοῦ τοῦ Ἀριστοτέλους μνημονευομένην πρβ. ***Ueberweg*, *Gesch. d. Philosophie***[5], σελ. 29.

12) Ὁ Κέλσος ἐποιήσατο χρῆσιν τοῦ φερεκυδείου βιβλίου ἐν τῷ κατὰ

Διογένους τοῦ Λαερτίου. Περὶ τῆς ἐπιγραφῆς καὶ ὑποθέσεως τῆς Φερεκυδείου θεογονίας φέρονται παρὰ Σουΐδα τάδε: ἔστι δὲ ἅπαντα ἃ συνέγραψε ταῦτα. Ἑπτάμυχος (γραπτέον πεντέμυχος κατὰ **Preller**), *ἤτοι θεοκρασία ἢ θεογονία· ἔστι δὲ θεολογία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους (γραπτέον διαδοχὰς κατὰ* **Preller**). *Ἐν ταῖς λέξεσι τοῦ Σουΐδα φαίνεται, ὅτι ἡ κυρία μὲν ὀνομασία τοῦ Φερεκυδείου βιβλίου ἐστὶ* πεντέμυχος *(ἑπτάμυχος), αἱ δὲ λοιπαὶ ὀνομασίαι, θεοκρασία, θεογονία, θεολογία, ἐπεξηγήσεις τῆς κυρίας ὀνομασίας. Ἀλλ' ὅμως οὐχ οἷόν τε εἰπεῖν μετὰ βεβαιότητος εἰ ἡ ὀνομασία πεντέμυχος ἦν ἤδη κατὰ τὴν 6ην ἑκατονταετηρίδα γνωστὴ ἢ ἐξήχθη ὕστερον ἐκ τῆς ὑποθέσεως τοῦ βιβλίου Ὁ* **Goettling (Proleg. Hesiod. p, XLI 2** *ἐκδ.) ὑπολαμβάνει ὡς πρῶτον (ἀρχικὸν) ὄνομα τοῦ βιβλίου τὴν ἐπιγραφὴν θεολογία, ὡς καταφαίνεται ἐξ Ἀπολλωνίου περὶ ἀντωνυμ. σελ.* 82C. *Αἱ διάφοροι ἐπιγραφαὶ καὶ ἡ διαίρεσις εἰς δέκα βιβλία κατάγονται ἴσως ἐκ μεταγενεστέρας διασκευῆς, ἡ δὲ λέξις ἑπτάμυχος μεταβλητέα μετὰ τοῦ* **Preller** *εἰς πεντέμυχος, ὡς καταφαίνεται ἐκ τοῦ χωρίου τοῦ Δαμασκίου περὶ ἀρχ. κεφ.* 124 *σελ* **384**

τοῦ Χριστιανισμοῦ συγγράμματι αὐτοῦ μαρτυρῶν διαρρήδην τὴν ὕπαρξιν τῆς φερεκυδείου θεογονίας, ὡς καταφαίνεται ἐκ τοῦ Ὠριγένους κατὰ Κέλσου 1, σελ. 14 ἔκδ. ***Spencer***· τὸν Φερεκύδην καὶ τὸν *Πέρσην* Ζωροάστρην, καὶ Πυθαγόραν — ἐς βίβλους καταθέσθαι τὰ ἑαυτῶν δόγματα καὶ πεφυλάχθαι αὐτὰ μέχρι δεῦρο. Πρβ. καὶ Κλημ. Ἀλεξανδρέα Στρωμ. ***VI***, σελ, **272** κέ. Ἡ μαρτυρία τοῦ Διογένους I, 119 ἔχει: σῴζεται δὲ τοῦ Συρίου τό τε βιβλίον ὃ συνέγραψεν — καὶ ἡλιοτρόπιον ἐν Σύρᾳ τῇ νήσῳ. *Πρβ.* ***Preller, Ausgew. Aufsätze*** σελ. 350 κέ. Ὁ ***Christ*** ἐν σελ. 247 τῆς ἑαυτοῦ ***Griech. Litterat.*** ἀποφαίνεται καί περ οὐδεμίαν ἀπόδειξιν τῆς ἑαυτοῦ γνώμης προφερόμενος, ὅτι τὸ σύγγραμμα τοῦ Φερεκύδου ἀπώλετο πρωϊαίτατα. *Περὶ* τῆς ὑπάρξεως τοῦ φερεκυδείου βιβλίου ἐν ὀψιαιτέροις χρόνοις πρβ. καὶ ***Vollkmann*** ἐν ***Zeitschrift für das Gymnasialwesen*** 1885 σελ. 157.

Ἡ εἴδησις τοῦ Διογένους (I, 116: τοῦτον πρῶτον περὶ φύσεως καὶ θεῶν Ἕλλησι γράψαι ἐννοητέον κατὰ λογάδην) ἀνάγεται ἐν τούτῳ, ὅτι πρῶτος ἔγραψεν εἰς πεζὸν λόγον περὶ φυσικῆς Θεολογίας, οὐδαμῶς δὲ ἀποδείκνυσι τοῦτο, ὁ Λαέρτιος ἐγίνωσκε μόνον ἐκ τοῦ Θεοπόμπου τὸ ἔργον τοῦ Φερεκύδου ἐξαφανισθὲν πρωϊαίτατα, ὡς λέγει ὁ ***Christ.***

ed Kopp. ἐξ ὧν ἐν πέντε μυχοῖς διῃρημένων πολλὴν γενεὰν συστῆσαι θεῶν, τὴν πεντέμυχον καλουμένην, ταὐτὸν δ' ἴσως εἰπεῖν τὴν πεντέκοσμον. Ὁ Sturz p. 27) ὑπολαμβάνει γραπτέον παρὰ Σουίδᾳ ἢ Δεκάμυχος — ἐν βιβλίοις δέκα ἢ ἑπτάμυχος — ἐν βιβλίοις ἑπτά· πολλῷ τολμηροτέρα φαίνεται ἡ ἐν σελ. 64 γενομένη ὑπὸ τοῦ Sturz μετάθεσις τῶν λέξεων τοῦ Σουίδα ἔχουσα ὧδε: ἑπτάμυχος ἤτοι θεοκρασία ἔστι δὲ θεολογία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους. Φερεκύδης Ἀθηναῖος—ἔγραψεν αὐτόχθονας ἢ θεογονίαν· ἔστι δὲ περὶ τῆς Ἀττικῆς ἀρχαιολογίας ἐν βιβλίοις δέκα. Ὁ C. Müller p. XXXV προβαλλόμενος τὴν γραφήν: Ἑπτάμυχος ἤτοι θεοκρασία ἢ θεολογία· ἔστι δὲ θεογονία ἐν βιβλίοις δέκα, ἔχουσα θεῶν γένεσιν καὶ διαδόχους: ὑπολαμβάνει ὡσαύτως, ὅτι κακῶς ὑπὸ τοῦ Σουίδα ἡ τελευταία πρότασις: ἔστι δὲ θεογονία ἐν βιβλίοις δέκα—καὶ διαδόχους: ἀνήχθη τῷ Συρίῳ Φερεκύδῃ ἀνήκουσα τῷ Ἀθηναίῳ καὶ δηλοῦσα τοὺς αὐτόχθονας. Ἄπορον δὲ τί παθὼν ὁ πολυμαθὴς Christ (griech. Litt. σελ. 247 σημ. 4) αὐξάνει τὴν σύγχυσιν ἀπονέμων Φερεκύδῃ τῷ Λερίῳ θεολογίαν οὐχὶ δὲ θεογονίαν, ὅπερ ποιοῦσιν, ὡς εἴδομεν, ὁ Sturz καὶ Müller ἐπερειδόμενοι ἐπὶ μαρτυρίας τοῦ σχολιαστοῦ Ἀπολλωνίου τοῦ Ροδίου II 1214, καλοῦντος τὸ πρῶτον μέρος τοῦ ἔργου τοῦ ἱστορικοῦ Φερεκύδου, θεογονίαν[13]. Ὁ Christ πραγματευόμενος ἐν σελ. 249 περὶ τοῦ Λερίου

13) Οἱ αὐτόχθονες ἦν ἔργον ἐν δέκα βιβλίοις πραγματευόμενον οὐ μόνον περὶ τῶν μύθων τῆς Ἀττικῆς, ἀλλὰ ἐν ἐκτάσει περὶ ὅλης τῆς ἑλληνικῆς μυθολογίας, ὀνομαζόμενον δὲ ἐν τοῖς διασωθεῖσιν ἀποσπάσμασιν ἱστορίαι, γενεαλογίαι. Ἡ ἐπιγραφὴ Αὐτόχθονες ἐξηγεῖται ἐκ τῆς ἀξιώσεως τῶν Ἀθηνῶν ἐπὶ τὴν Αὐτοχθονίαν· ἅπασαι δὲ αἱ ἐπιγραφαὶ τοῦ ἔργου κατάγονται ἴσως ἐκ τῶν ἀλεξανδρινῶν χρόνων ἐξαχθεῖσαι ἐκ τῆς ὑποθέσεως τοῦ βιβλίου· τῶν ἀποσπασμάτων ἀπτομένων ὅλης τῆς ἑλληνικῆς μυθολογίας οὐχὶ δὲ μόνον τῶν μύθων τῆς Ἀττικῆς, ὑπέλαβον ὁ **Sylburg** καὶ **Heyne** ὅτι Αὐτόχθονες ἦν ἔργον τοῦ κωμικοῦ Φερεκράτους, ὅπερ ἀπίθανον· συγχέονται μὲν γὰρ πολλάκις τὰ ὀνόματα Φερεκύδης καὶ Φερεκράτης (πρβ. **Meineke Hist. com. Graec. p. 83**) πρὸς ἄλληλα, ἀλλ' ὅμως κωμῳδία τοῦ Φερεκράτους Αὐτόχθονες οὐ μνημονεύεται. Πραγματευόμενος δὲ ὁ Φερεκύδης οὐ μόνον τοὺς ἀττικούς, ἀλλὰ καὶ πάντας ἐν γένει τοὺς ἑλληνικοὺς μύθους ἐν γενεαλογικῇ

Φερεκύδου καλεῖ μὲν ὀρθῶς τὸ ἔργον αὐτοῦ θεογονίαν, ἀλλ' ἀπονέμει αὐτῷ 95 ἔτη ἀντὶ 85 κατὰ τυπογραφικὸν ἴσως σφάλμα.

Τρεπόμενοι δὲ νῦν εἰς ἔρευναν τῆς Φερεκυδείου πεντεμύχου ἀρχόμεθα ἀπὸ τοῦ προοιμίου, ἔχοντος παρὰ Λαερτίῳ Διογένει I, 119 *ὧδε*

> *Ζεὺς μὲν καὶ Χρόνος ἐς ἀεὶ καὶ Χθὼν ἦν·*
> *Χθονίῃ δὲ ἐγένετο ὄνομα Γῆ, ἐπειδὴ αὐτῇ Ζεὺς*
> *γέρας διδοῖ.*

Πρὸς κατανόησιν δὲ τῶν λέξεων τούτων σπουδαιότατοί εἰσιν οἱ ἄνω (σελ. 42) *μνημονευθέντες λόγοι τοῦ Σταγειρίτου «Φερεκύδης καὶ ἕτεροί τινες τὸ γεννῆσαν πρῶτον ἄριστον τιθέασι». Κατὰ ταῦτα ὁ Φερεκύδης οὐκ ἤρξατο, ὥσπερ ὁ Ἡσίοδος καὶ οἱ ἄλλοι κοσμολόγοι, ἀπὸ Χαώδους ἀρχῆς, ἀλλ' ἔθηκεν ἐπὶ κορυφῆς τῆς ἑαυτοῦ κοσμογο-*

τάξει καὶ καλούμενος ὁ κατ' ἐξοχὴν γενεαλόγος (Διογ. I, 119 καὶ Διον. Ἁλικαρν. Ἀρχαιολ. Ρωμαϊκ. I, 13 τῶν Ἀθηναίων γενεαλόγων οὐδενὸς δεύτερος) συνέγραψε τὸ ἔργον τοῦτο ἴσως χάριν τῶν ἐν Ἑλλάδι ἐπισήμων γενῶν ἀναγόντων τοὺς ἑαυτῶν γενάρχας μέχρι τῆς ἀρχῆς τοῦ κόσμου. Τὰ δέκα βιβλία τῶν Αὐτοχθόνων, περὶ ὧν ποιεῖται λόγον ὁ Σουίδας εὕρηνται ἐν τοῖς ἀποσπάσμασι. Τὸ πρῶτον βιβλίον ἐπραγματεύετο περὶ θεογονίας καὶ τῆς Γιγαντομαχίας, δι' ἣν αἰτίαν τὸ μέρος τοῦτο καλεῖται ἅπαξ παρὰ τῷ σχολιαστῇ Ἀπολλων· τοῦ Ροδίου, II, 1214 θεογονία. Τὸ δεύτερον βιβλίον περιεῖχε τὰ τοῦ Προμηθέως, μάλιστα δὲ τοὺς Ἀργείους μύθους καὶ τὰ τῆς γεννήσεως καὶ νεότητος τοῦ Ἡρακλέους. Τὸ τρίτον ἐπραγματεύετο τοὺς ἄθλους τοῦ Ἡρακλέους. Τὸ τέταρτον καὶ πέμπτον τοὺς θηβαϊκοὺς μύθους, τὸ ἕκτον μέχρι τοῦ ὀγδόου βιβλίου περιεῖχε τοὺς αἰολικοὺς μύθους καὶ τὸν πλοῦν τῶν Ἀργοναυτῶν. Ἐν τῷ ἐνάτῳ τέλος καὶ δεκάτῳ βιβλίῳ ἐξετίθεντο οἱ ἀρκαδικοί, λακωνικοὶ καὶ ἀττικοὶ μῦθοι ἴσως καθ' ἣν τάξιν καὶ παρ' Ἀπολλοδώρῳ μετοχετεύσαντι ἐκ παλαιῶν πηγῶν καὶ μάλιστα ἐξ Ἑλλανίκου. Ἀπετέλει δὲ τὸ ἔργον τοῦτο τοῦ Ἀθηναίου Φερεκύδου, ὥσπερ ἐν χρόνοις ὑστέροις τὸ τοῦ Ἀπολλοδώρου ἀσπάσιον βοήθημα τοῖς ποιηταῖς καὶ καλλιτέχναις ἐν τοῖς χρόνοις τοῦ Εὐριπίδου, ἐφ' οὗ ἀνεζητοῦντο οἱ ἀρχαιότατοι μῦθοι χάριν τοῦ καινοῦ· πρβ. σχολ. εἰς Εὐριπ. Φοιν. 71, ἔνθα ὑποδηλοῦται ὅτι ὁ Εὐριπίδης ἐποιήσατο χρῆσιν τοῦ Φερεκύδου καὶ Ἑλλανίκου. πρβ. **Preller, Ersch, Gruber.** Ἐκ δὲ τῶν παρὰ Σουίδᾳ μνη-

νίας εὐθὺς τὸ ἄριστον, ὅπερ παρὰ τοῖς ἀρχαίοις ποιηταῖς παρίσταται βαθμηδὸν προερχόμενον. Τὸ δὲ πρῶτον γεννῆσαν καὶ ἄριστόν ἐστιν παρὰ Φερεκύδῃ ὁ Ζεύς, οἷος παρίσταται καὶ ἐν ὀρφικῷ στίχῳ.

Ζεὺς κεφαλή, Ζεὺς μέσσα, Διὸς δ' ἐκ πάντα τέτυκται

ὃν στίχον κατά τε τὸν ***Lobeck*** *(**Aglaoph.** 529 κέ) καὶ* ***Zeller*** *I[4], 52 κέ) φαίνεται, ὅτι ὑπαινίσσεται καὶ ὁ Πλάτων (Νομ. IV 715 E. ὁ μὲν δὴ θεὸς (=Ζεὺς) ὥσπερ καὶ ὁ παλαιὸς λόγος (=ὀρφικὸς) ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντων ἁπάντων ἔχων εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται Δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός). πρβ. καὶ Πρόκλον ἐν Τιμ. 95 F. καὶ σχολ. Πλάτωνος σελ. 451 ἐκδ.* ***Bekker****, ὅτι δὲ τὸ παρὰ Λαερτίῳ Διογένει διασωθὲν προοίμιον τῆς Φερεκυδείου θεογονίας ἐστὶν γνήσιον καταφαίνεται καὶ ἐξ ἄλλων μνημονευόντων τὰς ἀρχὰς αὐτῆς. Ἐκ τούτων δὲ ὁ μὲν Ἑρμείας καὶ Πρόβος οὐ μόνον ἐμνημόνευσαν τὰς ἀρχὰς τοῦ Φερεκύδου, ἀλλὰ καὶ ἡρμήνευσαν αὐτάς. Ὁ μὲν*

μονευομένων ἔργων ἀνάγονται εἰς τὸν ἱστορικὸν τὰ περὶ Ἰφιγενείας, τὰ περὶ Λέρου καὶ περὶ τῶν Διονύσου ἑορτῶν ἀποτελοῦντα κατὰ τὸν **Preller** ἴδια κεφάλαια τοῦ προειρημένου κυρίου ἔργου. Ἡ συναγωγὴ τῶν ὀρφικῶν (ὅν λόγος τὰ Ὀρφέως συναγαγεῖν) καὶ αἱ παραινέσεις δι' ἐπῶν ἀνήκουσι τῷ Συρίῳ πρβ. ***Pauly Real-Encyclopädie 5 1447*** κέ. καὶ ὑπὸ τῷ ὀνόματι τοῦ Λίνου ἐφέρετο ποίημα ἠθικῶν παραγγελμάτων σκευώρημα τῶν Πυθαγορείων. Τέλος δὲ μνημονευτέον καὶ τὰ ὑποβαλλόμενα τῷ Πυθαγόρᾳ Χρυσᾶ ἔπη καὶ τὰ Ἀριμάσπεια ἔπη τοῦ Ἀριστέα, (περὶ τὴν 58 ὀλ. ἀκμάσαντος) πρβ. ***Bergk II 98, 99.*** Ἐπειδὴ δὲ ὑπὸ τοῦ Σουίδα μνημονεύονται τελεταὶ Δήμητρος γραφεῖσαι ὑπὸ τοῦ Μουσαίου, ἡ δὲ πυθαγόρειος Ἀριγνώτη ἔγραψε Βακχικὰ ἢ περὶ τελετῶν Διονύσου, διὰ ταῦτα εἰκάζομεν, ὅτι καὶ τὰ περὶ τῶν Διονύσου ἑορτῶν ἁρμόζουσι μᾶλλον τῷ Συρίῳ Φερεκύδῃ. πρβ. ***Bergk II, 80. 87.*** Ἔγραψε δὲ καὶ οὗτος ὁ Φερεκύδης ἐν Ἰωνικῇ διαλέκτῳ ἤτοι ἐν τῇ ἀρχαίᾳ Ἀτθίδι μὴ ἀπεχούσῃ πολὺ τῆς Ἰωνικῆς. Ἐν τοῖς διασωθεῖσιν ἀποσπάσμασιν ἐξηλείφθησαν τὰ ἴχνη τῆς πρωτοτύπου διαλέκτου πλὴν τινων ἐλαχίστων φερομένων παρὰ τῷ σχολ. τοῦ Ἀπολλων. III, 1178 καὶ Διονυσίῳ τῷ Ἁλικ. Ἀρχαιολ. I, 13· πρβ. ***Preller, Ersch, Gruber.***

Ἑρμείας γράφων (*Διασυρμ. τῶν ἔξω φιλοσοφ. κεφ.* 12 *Δοξογρ.* 654, 12, 7).

Φερεκύδης μὲν ἀρχὰς εἶναι λέγων Ζῆνα καὶ
Χθονίην καὶ Κρόνον· Ζῆνα μὲν τὸν αἰθέρα,
Χθονίην δὲ τὴν γῆν, Κρόνον δὲ τὸν χρόνον·
ὁ μὲν αἰθὴρ τὸ ποιοῦν, ἡ δὲ γῆ τὸ πάσχον,
ὁ δὲ Χρόνος ἐν ᾧ τὰ γινόμενα. ζηλοτυπία
τοίνυν τῶν γερόντων πρὸς ἀλλήλους

τίθησιν οὐ μόνον Κρόνος ἀντὶ Χρόνος, ἀλλὰ καὶ ἀντὶ τῆς λέξεως Χθονὸς τὴν λέξιν Χθονίην κειμένην παρὰ Διογένει ἐν τῇ ἑτέρᾳ προτάσει. Ὁ δὲ Πρόβος γράφει εἰς Βιργιλίου VI, Ἐκλογ. 31 ***p.*** 20 *κέ. ἔκδ.* ***Keil. Consentit et Pherecydes, sed diversa adfert element.*** *Ζῆνα* ***inquit*** *καὶ Χθόνα καὶ Κρόνον,* ***ignem et terram et tempus significans, et esse aethera, qui regat, terram, quae***[14] ***regatur, tempus, in quo universa pars moderetur.*** *Οὕτω τοίνυν ὅ τε Ἑρμείας καὶ Πρόβος λέγουσιν, ὅτι διὰ τοῦ Διὸς σημαίνεται ὁ αἰθὴρ ἁρμόζων τῇ τοῦ Διὸς φύσει ὅσπερ ἐστὶ ἡ ποιοῦσα δύναμις δι' ἧς τὰ πάντα θάλλουσι καὶ ἀκμάζουσιν. Κατὰ τὸν Φερεκύδην ἦν ἀεὶ ὁ παντοδύναμος θεός, ὃν οἱ Ἕλληνες ὀνομάζοντες διαφόροις ὀνόμασι*[15] *καὶ πι-*

---

14) Ἐν ταῖς ἀρχαιοτέραις τοῦ Πρόβου ἐκδόσεσιν ἐφέρετο ***qua*** ἀντὶ ***quae***, ἥτις ἐστὶν ἡ ὀρθὴ γραφὴ κατὰ τὸν ***Keil***. Ὁ ***Zimmermann*** ὅμως (***p. 172***) μετήγαγε τὴν πλημμελῆ γραφὴν ὡσαύτως δὲ καὶ ὁ ***Sturz*** (***p. 44***) παραλαβὼν τὴν γραφὴν ***qua*** νομίζει ὅτι ὁ ***Probus*** παρανοήσας τὸν Φερεκύδην λέγει ὅτι ὁ Χρόνος κυβερνᾶται ὑπὸ τῆς γῆς, οὔσης κατὰ τὸν Ἑρμείαν ἀρχῆς παθητικῆς.

15) Ἡρωδιανὸς περὶ μονήρους λέξεως 6, 14 λέγει: ὅτι δὲ ποικίλως εἴρηται ὑπὸ παλαιῶν ὁ θεὸς οὐκ ἀγνοῶ. Καὶ γὰρ Δὶς καὶ Ζὴν καὶ Ζὰν καὶ Ζὰς καὶ Ζὴς παρὰ Φερεκύδῃ κατὰ κίνησίν τινα· ὑπὸ Βοιωτῶν καὶ Δεὺς καὶ Δάν. Πρβ. σελ. 352 τῆς πραγματείας τοῦ ***Preller***, ὑπολαμβάνοντος, ὅτι τὰ διάφορα ὀνόματα ἀπενεμήθησαν τῷ Διὶ ὑπὸ τοῦ Φερεκύδου, ποιοῦντος τὸν θεὸν παρεχόμενον ἐν τῇ θεογονίᾳ ὑπὸ τρεῖς φάσεις, ὡς αἰθέρα καὶ πρώτην ἀρχήν, ὡς ἔρωτα καὶ τέλος ὡς ἀληθῆ δημιουργὸν τοῦ κόσμου. Ὁ ***Conrad*** (***p.*** 17 κέ) καίπερ μὴ ἀρνούμενος ὅτι ἴσως ὁ Φε-

στεύοντες κατοικοῦντα ἐν τῷ ὑψίστῳ μέρει τοῦ οὐρανοῦ συνέχεον πρὸς τὸν αἰθέρα. Ἐκ δὲ τούτων καταφαίνεται ὅτι ὁ Φερεκύδης κατιδὼν μᾶλλον τῶν ἑαυτοῦ συγχρόνων τὴν ἀληθῆ τοῦ ὑψίστου Θεοῦ φύσιν ἔπλασεν, ὅτι ἡ ὑψίστη αὕτη θεότης ἦν συνδεδεμένη καὶ ὑποστάσει τινί, τῷ αἰθέρι [16], *ὃν οἵτε Ἕλληνες καὶ οἱ Ρωμαῖοι ὑπολαμβάνοντες ἕδραν τοῦ μεγίστου θεοῦ συνέχεον, ὥσπερ ὁ Εὐριπίδης* (*πρβ.* **Naegelsbach, Nach homerische Theologie p. 450** *κέ*), *πρὸς αὐτὸν τὸν Θεόν. Ταύτην δὲ τὴν ἀνάμιξιν τοῦ θεοῦ πρὸς τὴν ὑπόστασιν γενομένην καὶ ὑπὸ τοῦ Φερεκύδου αὐτοῦ εἰκάζει ὁ* **Conrad** *(p. 19) ἐκ τῶν λέξεων Ἰωάννου τοῦ Λυδοῦ, λέγοντος, ὅτι ὁ Ζεὺς παρὰ τῷ Φερεκύδῃ ἦν καὶ ἥλιος. Τοῦ μὲν* **Sturz** *(p. 41) καὶ* **Preller** (*σελ.* 353) *ἐκλαμβανόντων τὸν ἥλιον τοῦτον σημαίνοντα αἰθέρα ἢ τὸ πρῶτον πῦρ, ὁ* **Conrad** *λέγει, ὅτι ὁ Φερεκύδης διενοήθη, ὅτι ὁ ἥλιος περιέχει τὴν κυρίαν δύναμιν τοῦ Διός, διότι διὰ τῆς θερμότητος τοῦ ἡλίου κατὰ τὸν Ἀναξίμανδρον ἐσχηματίσθη ὁ κόσμος καὶ ἐγεννήθησαν τὰ φυτά, τὰ ζῶα καὶ οἱ ἄνθρωποι. Ἔτι δὲ πρὸς τούτοις διατείνεται ὁ* **Conrad**, *ὅτι ὁ Φερεκύδης ἕνεκα τούτου καταλεκτέος ἐν τῷ ἀριθ-*

ρεκύδης διὰ τῶν διαφόρων ὀνομασιῶν ἐσήμαινε καὶ διαφόρους δυνάμεις ὑπαρχούσας εἰς τὴν φύσιν τοῦ Διός, ἀποδοκιμάζων ὅμως τὴν γνώμην τοῦ **Preller** ἀποφαίνεται, ὅτι αἱ διάφοροι ὀνομασίαι τοῦ Θεοῦ προέρχονται ἐκ τῶν διαφόρων διαλέκτων. Παραδεχόμενος δὲ ὁ **Conrad** τὴν ἀναλλοίωτον φύσιν τοῦ Φερεκυδείου Διὸς ὁμογνωμονεῖ τῷ ***Zimmermann (Ueber die Lehre des Pherecydes von Syros*** ἐν ***Fichte's Zeitschrift für Philosophie*** τομ. 24 *p. 177)* λέγοντι, ὅτι ὁ Ζεύς ἐστιν Ἔρως ἐν δυνάμει, ὁ δὲ Ἔρως Ζεὺς ἐν ἐνεργείᾳ, ἑκάτερος ὢν ἓν καὶ τὸ αὐτό. Πρβ. Πρόκλον εἰς Ἀλκιβ. III *p.* 68: Ἐν γὰρ τῷ Διῒ ὁ Ἔρως ἐστί· καὶ γὰρ μῆτίς ἐστι πρῶτος γενέτωρ καὶ ἔρως πολυτερπὴς καὶ ὁ ἔρως πρόεισιν ἐκ τοῦ Διὸς καὶ συνεπέστη τῷ Διῒ πρώτως ἐν τοῖς νοητοῖς· ἐκεῖ γὰρ ὁ Ζεὺς ὁ Πανόπτης ἐστὶ καὶ ἁβρὸς ἔρως, ὡς Ὀρφεύς φησιν.

16) Ὅτι ὁ Ζεὺς ἐσήμαινε παρὰ Φερεκύδῃ τὸν τὸ σύμπαν κυβερνῶντα ὕψιστον Θεὸν ἔτι δὲ καὶ τὸ ὕψιστον μέρος τοῦ οὐρανοῦ, τὸν αἰθέρα, πρῶτος ἀπεφήνατο ὁ ***Zeller I,*** ^{4} ***73*** σημ. 1. Κατὰ δὲ ταῦτα ἀνυπόστατος φαίνεται ἡ γνώμη τοῦ ***Sturz (p. 41)*** ἐννοοῦντος ἐν τῷ Διῒ μόνον τὸν αἰθέρα ἤτοι τὴν ἀνωτάτην καὶ πανταχοῦ κεχυμένην καὶ τὰ πάντα περιβάλλουσαν αἴγλην τοῦ οὐρανοῦ.

μῷ τῶν σοφῶν, οἵτινες κατὰ τὸν Σοφοκλέα (*ἀποσπ.* 796 *Ἥλιος ἐποικτείρειέ με ὃν σοφοὶ λέγουσι γεννητὴν θεῶν καὶ πατέρα πάντων*) *ὑπελάμβανον τὸν ἥλιον γεννήτορα τῶν θεῶν*[17].

Ὄντος δὲ τοῦ Διὸς ἐν τῇ Φερεκυδείῳ θεογονίᾳ ἀεὶ τελείου θεοῦ καὶ πρώτου Δημιουργοῦ, τότε πεπλημμελημένη φαίνεται ἡ γνώμη τοῦ **Preller** (358) *καὶ ἄλλων ὑπολαμβανόντων, ὅτι πρὸ τοῦ Διὸς ἦρξε τοῦ κόσμου ὁ Ὀφιονεὺς καὶ ἡ Εὐρυνόμη, οὓς νικήσας ὁ Κρόνος ἡττήθη εἶτα καὶ αὐτὸς ὑπὸ τοῦ Διός, καὶ προφερομένων τάδε τὰ μαρτύρια, Ἀπολλώνιον Ῥόδιον Ἀργον. I*, 503 *κέ*

ἤειδεν δ' ὡς πρῶτος Ὀφίων Εὐρυνόμη τε
ὠκεανὶς νιφόεντος ἔχον κράτος Οὐλύμποιο,
ὥς τε βίῃ καὶ χερσὶν ὁ μὲν Κρόνῳ εἴκαθε τιμῆς,
ἡ δὲ Ῥέῃ, ἔπεσον δ' ἐνὶ κύμασιν ἐν Ὠκεανοῖο,

Λυκόφρονα Ἀλεξαν. 1192 *καλοῦντα τὸν Δία «ἄνακτα τῶν Ὀφίωνος θρόνων», εἰς ὃν στίχον ὁ Τζέτζης σημειοῦται τάδε: «Πρὸ γὰρ Κρόνου καὶ Ῥέας Ὀφίων καὶ Εὐρυνόμη ἡ τοῦ Ὠκεανοῦ τῶν θεῶν ἐβασίλευον, οὓς Τιτᾶνας καλοῦσιν. Κρόνος δὲ τὸν Ὀφίωνα καταβαλών, Ῥέα δὲ τὴν Εὐρυνόμην καταπαλαίσασα καὶ ἐμβαλοῦσα τῷ Ταρτάρῳ τῶν Θεῶν ἐβασίλευσαν. Οὓς πάλιν ὁ Ζεὺς ταρταρώσας ἔσχε τὸ κράτος». Τούτοις προσθετέον τὸν σχολ. Ἀριστοφάνους Νεφ.* 247 *γράφοντα: «Πρῶτον μὲν τοὺς κατὰ Ὀφίωνα καὶ Εὐρυνόμην, δεύτερον δὲ τοὺς κατὰ Κρόνον καὶ Ῥέαν, οὕστινας Ὅμηρος οὐρανίωνας, τρίτον δὲ [τοὺς κατὰ] Δία τὴν ἀρχὴν καταλύσαντας τὴν ἐκείνων, οὓς Ὀλυμπίους κλήζομεν», ἔτι δὲ καὶ τὸν Σχολ. Αἰσχύλου Προμηθ.* 955: *«Λέγει δὴ τὸν Ὀφίωνα καὶ τὴν Εὐρυνόμην καὶ τὸν Κρόνον,*

---

17) Ἐναντιοφρονεῖ τῷ ***Conrad*** ὁ ***Kern (p. 94)*** διατεινόμενος, ὅτι ἡ ἐν τῷ Σοφοκλείῳ στίχῳ περὶ Ἡλίου ἰδέα διαφέρει τοῦ Φερεκυδείου Διὸς καὶ λέγων, ὅτι, ἐάν τις ἀνάγειν βούληται τὴν Σοφόκλειον ῥῆσιν εἴς τινα φιλόσοφον, διανοητέον ἐστὶ τότε τὸν Ἡράκλειτον. Πρβ. ***Griech. Mythol. Preller — Robert I***,[4] ***38*** σημ. 3. Τοῦ δὲ Ἰωάννου Λυδοῦ ἡ περὶ τοῦ Φερεκυδείου Διὸς γνώμη προῆλθε κατὰ τὸν ***Kern*** ἐκ τῶν παρὰ Διογένει Λαερτίῳ μνημονευομένων ἀστρολογικῶν σπουδῶν τοῦ Φερεκύδου (I, 119, σῴζεται δὲ καὶ ἡλιοτρόπιον ἐν Σύρᾳ τῇ νήσῳ).

ὃν ἔρριψεν ὁ Ζεύς». Ἀλλ' ὅμως πλὴν τῆς ὁμοιότητος, καθ' ἥν, ὥσπερ παρ' Ἀπολλωνίῳ ὁ Ὀφίων ῥίπτεται ὑπὸ τοῦ Κρόνου εἰς τὸν Ὠκεανὸν οὕτω καὶ παρὰ Φερεκύδῃ ὁ Ὀφιονεὺς ἐβλήθη ὑπὸ τοῦ Κρόνου εἰς τὸν Ὠγῆνον (πρβ. Κέλσον παρὰ Ὠριγένει κατὰ Κέλσου VI, p. 303 ἐκδ. Spencer), κατὰ τὰ ἄλλα ἡ εἰκασία τῶν περὶ τὸν Preller φαίνεται ἐπισφαλής. Καὶ ἐνδέχεται μὲν τὴν δευτέραν θεογονίαν (σελ. 39), ἣν πρὸ ὀφθαλμῶν εἶχεν ὁ Ἀπολλώνιος, εἶναι ἀπομίμησιν ἢ καὶ βάσιν τῆς Φερεκυδείου διηγήσεως περὶ τῆς Θεῶν μάχης, ἀλλ' ὅμως ὁ Φερεκύδης κατ' ἄλλον τρόπον διενοήθη τὰ περὶ Ὀφιονέως ὡς καταφαίνεται καὶ ἐκ τῆς διαφορᾶς τοῦ ὀνόματος (ὀφίων) παρὰ Ἀπολλωνίῳ. Ὥσπερ δὲ ὁ Φερεκύδης οὐκ ἔθηκεν ἐπὶ κορυφῆς τῆς ἑαυτοῦ κοσμογονίας οὔτε τὸν Ὠκεανόν, καθ' ἃ ὁ Ὅμηρος, οὔτε τὸ Χάος, καθ' ἃ ὁ Ἡσίοδος, οὔτε τὴν Νύκτα καὶ τὸν οὐρανόν, καθ' ἃ ἡ πρώτη ὀρφικὴ θεογονία (πρβ ἀνωτέρω σελ. 42 σημ. 11), οὕτω καὶ τὸν Ὀφιονέα ποιεῖ γεννηθέντα μετὰ τὴν ἀρχὴν τοῦ Διὸς καὶ ἀντιστρατευόμενον εἰς τὴν ὑπὸ τοῦ ὑπάτου τῶν θεῶν γινομένην δημιουργίαν τοῦ κόσμου, ὅπερ καθομολογῶν καὶ ὁ Πρέλλερος (σελ. 355—358) ἀντιφάσκει πρὸς τὴν γνώμην αὐτοῦ, καθ' ἣν πρὸ τοῦ Διὸς πρῶτος ἄρχων τοῦ κόσμου παρὰ Φερεκύδῃ ἦν ὁ μετὰ τὸν Δία γεννηθεὶς Ὀφιονεύς.

Ὄντος τοίνυν τοῦ Διὸς ὑψίστου θεοῦ καὶ πρώτου ἄρχοντος τοῦ κόσμου ἐν τῇ Φερεκυδείῳ θεογονίᾳ, κατάδηλόν ἐστι, ὅτι ὁ Φερεκύδης παρέστησεν ἄλλως τὴν κοσμογονίαν, μεταβαλὼν δὲ πολλὰ τῶν ἑλληνικῶν μύθων, καθ' οὓς ἐκ τοῦ οὐρανοῦ ἐγεννήθη ὁ Κρόνος, ἐκ δὲ τοῦ Κρόνου ὁ Ζεὺς καὶ καταλέξας ἐν ταῖς ἀρχαῖς τὸν Κρόνον διενοήθη αὐτὸν οὐχὶ ὡς πατέρα τοῦ Διὸς καὶ προκάτοχον αὐτοῦ ἐν τῇ βασιλείᾳ τοῦ κόσμου, οἷος περιγράφεται παρὰ τῷ Ἡσιόδῳ καὶ τοῖς ἄλλοις θεολόγοις τῶν Ἑλλήνων, ἀλλὰ πολὺ διαφόρου φύσεως, ὡς δειχθήσεται ἑφεξῆς.

Ὁ Ἑρμείας (πρβ. ἄνω σελ. 47) μνημονεύων τὰς ἀρχὰς τῆς Φερεκυδείου θεογονίας καὶ ἑρμηνεύων αὐτὰς γράφει

> Φερεκύδης μὲν ἀρχὰς εἶναι λέγων Ζῆνα καὶ
> Χθονίην καὶ Κρόνον· Ζῆνα μὲν τὸν αἰθέρα,
> Χθονίην δὲ τὴν γῆν, Κρόνον δὲ τὸν Χρόνον· ὁ μὲν
> αἰθὴρ τὸ ποιοῦν, ἡ δὲ γῆ τὸ πάσχον, ὁ δὲ Χρόνος,
> ἐν ᾧ τὰ γινόμενα.

Τὴν αὐτὴν ἑρμηνείαν τοῦ Κρόνου ποιεῖται, ὡς εἴδομεν, καὶ ὁ *Πρόβος*. Πλὴν τῶν δύο τούτων αἱ ἀρχαὶ τῆς Φερεκυδείου Θεογονίας μνημονεύονται καὶ παρὰ τῷ Νεοπλατωνικῷ *Δαμασκίῳ* ἀρυσαμένῳ τὰς ἑαυτοῦ εἰδήσεις ἐκ τοῦ περιπατητικοῦ *Εὐδήμου* καὶ λέγοντι ἐν τῷ περὶ ἀρχῶν κεφ. 124 p. 384 ἐκδ. Kopp. τάδε: «Φερεκύδης δ' ὁ Σύριος Ζάντα μὲν εἶναι ἀεὶ καὶ Χρόνον καὶ Χθονίαν, τὰς τρεῖς πρώτας ἀρχάς, τὴν μίαν φημὶ πρὸ τοῖν δυοῖν καὶ τὰς δύο μετὰ τὴν μίαν· τὸν δὲ χρόνον ποιῆσαι ἐκ τοῦ γόνου ἑαυτοῦ [18] πῦρ καὶ πνεῦμα καὶ ὕδωρ.»

Παρὰ τῷ *Δαμασκίῳ* ὡς καὶ παρὰ τῷ *Διογένει* τὰ χειρόγραφα φέρουσι Χρόνον ἀντὶ Κρόνου, ὁ δὲ **Conrad** καὶ **Preller** παρ' ἀμφοτέροις εἰσήγαγον τὴν γραφὴν Κρόνου, ἤδη τοῦ Ἰσ. *Κασαβῶνος* προβαλομένου αὐτὴν ἐν ταῖς εἰς *Διογένη* σημειώσεσιν αὐτοῦ. Ὁ μέγας φιλόλογος **Welcker** ἐν τῷ περιωνύμῳ αὐτοῦ συγγράμματι (**Die Griechische Götterlehre**) ἀπεφήνατο, ὅτι παρὰ τοῖς Ἕλλησιν ἀπὸ τοῦ Ὁμήρου καὶ ἐφεξῆς ὁ Κρόνος εἶχε καὶ τὴν σημασίαν τοῦ χρόνου (σελ. 140· 143. Πρβ. *Διονυσ.* Ἁλικ. ἀρχαιολ. Ρωμ. Ι, 38 καὶ *Πλουτάρχου* ζητημ. Ῥωμ. 12), ὁ δὲ Ζεὺς Κρονίων ἦν ὁ θεὸς τῆς αἰωνιότητος. Κατὰ τῆς ἰδέας ταύτης **Welcker** ἀντεπεξῆλθεν ὁ **Overbeck** ἔν τινι πραγματείᾳ (**Beiträge zur Erkenntniss und Kritik der Zeusreligion**) ἐκτετυπωμένῃ ἐν τῷ τετάρτῳ τόμῳ τῶν **Abhandlungen der philologisch-historischen Classe der Königlichen Gesellschaft der Wissenschaften** 1861 διατεινόμενος, ὅτι παρὰ τοῖς ἀρχαίοις μέχρι *Εὐριπίδου* οὐδέποτε ὁ Κρόνος ἐσήμαινε Χρόνος, μόνον δὲ παρ' *Εὐριπίδῃ* (Ἡρακλ. 900) καλεῖται ὁ Αἰὼν υἱὸς τοῦ Κρόνου. Ὁμολογοῦντος ὅμως τοῦ **Overbeck** (σελ. 72) ὅτι ὁ Κρόνος παρὰ τοῖς ὀρφικοῖς ἐσήμαινε καὶ Χρόνον, συνάγεται, ἐκ τούτου, ὅτι καὶ ὁ *Φερεκύδης* λαβών, ὡς εἴρηται, πλεῖστα παρὰ τῶν ὀρφικῶν ἠδύνατο ποιήσασθαι χρῆσιν τοῦ Κρόνου ἐν τῇ ἐννοίᾳ τοῦ Χρόνου. Καὶ ταῦτα μὲν οὕτω. Ἐξεταζομένης δὲ τῆς φύσεως τοῦ Χρόνου, ἐὰν πιστεύσωμεν τῷ *Δαμασκίῳ*, ὁ *Φερεκύδης* ὑπέλαβεν, ὅτι ὁ Χρόνος ἐποίησεν ἐκ τοῦ σπέρματος αὐτοῦ πῦρ, ἀέρα, ὕδωρ. Κατὰ τὸν *Δαμάσκιον* παρίσταται, ὅτι ὁ Χρόνος γεννᾷ πρῶτος, ὁ Ἀριστο-

---

18) Ὁ **Mullach** (**Fragm. Philos. Graec. III 289**) διὰ μεταθέσεως γράφει ἐκ τοῦ ἑαυτοῦ γόνου ἀντὶ ἐκ τοῦ γόνου ἑαυτοῦ.

τέλης ὅμως διαρρήδην λέγει, ὅτι τὸ γεννῆσαν πρῶτον καὶ ἄριστον παρὰ Φερεκύδῃ ἦν ὁ Ζεύς. Ἡ ἀντίφασις αὕτη τοῦ Δαμασκίου πρὸς τὸν Ἀριστοτέλην ἐκλείπει κατὰ τὸν **Preller** (*σελ.* 355), *ἐὰν διανοηθῶμεν, ὅτι πρὸ τῆς γεννήσεως ἐκ τοῦ σπέρματος τοῦ Χρόνου τῶν τριῶν εἰρημένων στοιχείων* (*πυρός, ἀέρος, ὕδατος*) *ὁ Ζεὺς ὢν τὸ ἄριστον καὶ πρῶτον γεννῆσαν διέκρινε τὴν πρὶν ἀκατασκεύαστον καὶ Χαώδη Χθόνα εἰς ξηρὰν καὶ ὑγρὸν* (=*γῆν καὶ οὐρανόν*), *παρῆλθε δὲ ὁ Δαμάσκιος ἐν σιγῇ τὸ πρῶτον τοῦτο δημιουργικὸν τοῦ Διὸς ἔργον. Ὁ* **Kern** *ὅμως μὴ ἀρκούμενος τῇ ἑρμηνείᾳ ταύτῃ τοῦ* **Preller** *προβάλλεται οὐχὶ ἀφυῆ γνώμην διορθούμενος τὰς λέξεις τοῦ Δαμασκίου· «Διὰ μικρᾶς, λέγει* (*σελ.* 98) *διορθώσεως τοῦ κειμένου τοῦ Δαμασκίου ἐκλείπει ἡ δυσκολία γραφομένου: τὸν δὲ Χρόνον ποιῆσαι ἐκ τοῦ γόνου αὐτοῦ*[19] (*ὁ Κῶδιξ ἑαυτοῦ*) *πῦρ καὶ πνεῦμα καὶ ὕδωρ. Ὅθεν αὐτοῦ σημαίνει τὸ σπέρμα τοῦ Διός. Ἐκ τοῦ σπέρματος τοῦ πρώτου Θεοῦ διὰ τοῦ Χρόνου ἤτοι ἐν τῇ περιόδῳ τοῦ Χρόνου τὰ ὑπὸ τοῦ Διὸς γεννηθέντα πῦρ καὶ πνεῦμα καὶ ὕδωρ ἄγονται εἰς τελειότητα.» Ἵνα δὲ καὶ τὴν ἡμετέραν ἐξενέγκωμεν γνώμην, λέγομεν, ὅτι ἢ ὁ Δαμάσκιος διαστρέφων τὴν διδασκαλίαν τοῦ Φερεκύδου, καθ' ἣν κατὰ τὸν Ἀριστοτέλην ὁ Ζεὺς πρῶτος ἐγέννησε, παραδέχεται ἐκπόρευσιν τοῦ Χρόνου καὶ τῆς Χθονὸς* (*πρβ.* **Preller Ersch, Gruber**) *ἐκ τοῦ Διὸς καὶ τότε κάλλιστα ἠδύνατο ὁ Χρόνος ἔχων τὴν οὐσίαν τοῦ Διὸς καὶ ταυτιζόμενος αὐτῷ, ὥσπερ ὁ Ἔρως κατὰ τὸν Πρόκλον* (*Πλάτων Τιμ. p.* 156 A: *καὶ ὁ Φερεκύδης ἔλεγεν εἰς ἔρωτα μεταβεβλῆσθαι τὸν Δία, μέλλοντα δημιουργεῖν..*) *τελεῖν τὸ ἔργον τοῦ Διὸς καὶ πρῶτος γεννῆσαι τὰ τρία εἰρημένα στοιχεῖα ἢ ὁ Νεοπλατωνικὸς σιγῇ παραδοὺς κατὰ τὸν* **Preller** *τὸ πρῶτον δημιούργημα*

---

19) Τοῦ ***Sturz*** (***p. 42***) ὑπολαμβάνοντος, ὅτι ἡ ἑρμηνεία τοῦ Δαμασκίου συμφωνεῖ τῇ τοῦ Ἑρμείου δικαίως καθήψατο ὁ ***Zimmermann*** (***p. 173***), ὅσπερ ὅμως σφάλλεται παραδεχόμενος (***p. 178***) γεννηθέντα ὑπὸ τοῦ Διὸς ἐν τῇ περιόδῳ τοῦ Χρόνου τὸ πῦρ, τὸ πνεῦμα καὶ τὸ ὕδωρ. Ἡ τοιαύτη ἐκδοχὴ ἐστι δυνατὴ μόνον διὰ τῆς γραφῆς τοῦ ***Kern.*** Ὡσαύτως δὲ ἁμαρτάνει ὁ ***Sturz*** (***p. 42***) διατεινόμενος, ὅτι ἐν τῇ θεογονίᾳ τοῦ Φερεκύδου ἡ πρὸ τῶν δύο ἀρχῶν ὑπάρξασα ἦν ὁ Χρόνος, καὶ ὅτι ἐν τῇ περιόδῳ τοῦ Χρόνου ἐκ τοῦ αἰθέρος (Διός) καὶ τοῦ Χάους (Χθονὸς) ἐγεννήθησαν τὰ τρία στοιχεῖα. *Πρβ.* ***K·rn*** (***p. 94***).

τοῦ Διός, δι' οὗ διεκρίθη ἡ Χθὼν εἰς Γῆν καὶ Ὠκεανόν, ἐμνημόνευσε μόνον τὴν ἐκ τοῦ Χρόνου γέννησιν τοῦ πυρός, πνεύματος καὶ ὕδατος.

Ὅτι δὲ ὁ Δαμάσκιος ἠδύνατο μνημονεύων τὴν γέννησιν τῶν τριῶν στοιχείων ἐκ τοῦ Χρόνου σιγῇ παρελθεῖν τὸ πρὸ τοῦ Χρόνου δημιουργικὸν ἔργον τοῦ Διὸς καταφαίνεται καὶ ἐξ ἄλλου παραδείγματος. Ὁ Μάξιμος Τύριος (ὁμιλ. X. p. 174 ἐκδ. ***Reiske)*** *γράφων· «Ἀλλὰ καὶ τοῦ Συρίου τὴν ποίησιν σκόπει καὶ τὸν Ζῆνα καὶ τὴν Χθονίην καὶ τὸν ἐν τούτοις Ἔρωτα καὶ τὴν Ὀφιονέως γένεσιν καὶ τὴν θεῶν μάχην καὶ τὸ δένδρον καὶ τὸν πέπλον» καὶ μὴ μνημονεύων τὸν χρόνον οὐ δύναται πιστευθῆναι, ὅτι ἐλαχίστην σημασίαν ἀπένειμεν αὐτῷ καὶ οὐχὶ τοιαύτην, οἵανπερ ὁ Δαμάσκιος, ὥσπερ ὑπολαμβάνει ὁ* ***Preller (p. 357)****, ἀλλὰ ἡγητέον, ὅτι ἀποβλέπων πρὸς τὸν σκοπὸν αὐτοῦ κατέλεξεν ἐκ τῆς Φερεκυδείου θεογονίας μόνον τὰ πρόσφορα τῇ ὑποθέσει, περὶ ἧς ἐπραγματεύετο. Κατὰ γὰρ τὸν Στράβωνα (XII, 554) «Μοχθηρῷ σημείῳ χρῆται πᾶς ὁ ἐκ τοῦ μὴ λέγεσθαί τι ὑπὸ τοῦ ποιητοῦ τὸ ἀγνοεῖσθαι ἐκεῖνο ὑπ' αὐτοῦ τεκμαιρόμενος, καὶ δεῖ διὰ πλειόνων παραδειγμάτων ἐξελέγχειν αὐτὸ μοχθηρὸν ὄν· πολλῷ γὰρ αὐτῷ κέχρηνται πολλοί». Πρβ. καὶ* ***Conrad (p 24)****. Ὅτι δὲ ὁ Χρόνος τοῦ Φερεκύδου οὐκ ἐσήμαινε μόνον τὸν ἀφῃρημένον χρόνον, ἐν ᾧ πρᾶγμά τι γίγνεται, ἀλλὰ καὶ ἐνεργὸν δύναμιν συνημμένην τῷ χρόνῳ, τοῦτο εἰκάζεται οὐ μόνον ἐκ τοῦ προειρημένου χωρίου τοῦ Δαμασκίου, ἀλλὰ καὶ ἐξ ἑτέρου κατωτέρω ῥηθησομένου, ἔνθα γενομένης μάχης τῶν Θεῶν ἡγήσατο τῆς πρὸς τὸν Ὀφιονέα στρατιᾶς. Ἡ περὶ Χρόνου αὕτη ἰδέα πιστοῦται καὶ ἐκ τῆς διδασκαλίας τῶν Ὀρφικῶν, καθ' οὓς ὁ Χρόνος καταλεγόμενος ἐν ταῖς πρώταις κοσμογονικαῖς ἀρχαῖς*

ἔτευξε μέγας Χρόνος αἰθέρι δίῳ ὤεον ἀργύφεον

πρβ. Δαμάσκιον 147 K *(fr. 53* ***Abel)****, ὅτι δὲ καὶ τὴν τετάρτην ὀρφικὴν θεογονίαν ἣν ἀνωτέρω ἐμνημονεύσαμεν. Καὶ ὁ* ***Brandis*** *δὲ* ***(Gesch. der griech.-röm. phil.*** *σελ.* 80) *πραγματευόμενος περὶ τῆς φύσεως τοῦ χρόνου καθομολογεῖ, ὅτι ὁ χρόνος ἦν οὐ μόνον ὅρος πάσης γεννήσεως, ἀλλ' ἤσκει παρὰ τῷ Διῒ καὶ δημιουργικὴν δύναμιν.* ***Höchst wahrscheinlich aber****, γράφει,* ***ward von vorn herein Chro-***

nos und Zeus zugleich als höheres schaffendes oder belebendes Princip bezeichnet; denn Chronos soll aus seinem Gaumen Feuer, Rauch und Wasser hervorgebracht haben.

Τοιαύτης δὲ οὔσης τῆς φύσεως τοῦ Χρόνου, ἐρωτᾶται νῦν ἐὰν ὁ Χρόνος εἶχεν ὑπόστασιν ἢ ἕδραν τῆς ἑαυτοῦ ἐνεργείας, ὥσπερ, ὡς εἴδομεν, ὁ Ζεὺς τὸν αἰθέρα. Πρῶτος ὁ **Conrad** *(σελ. 22) ἀπεφήνατο, ὅτι οὐδεμίαν ἕδραν*[20] *εἶχεν ὁ χρόνος, ἐν δὲ τοῖς νεωτάτοις ὁ* **Diels** *ἐν τῇ εἰρημένῃ αὐτοῦ πραγματείᾳ ὡσαύτως οὐδεμίαν ἕδραν ἀπονέμει τῷ χρόνῳ. Ἄλλως ὅμως δοξάζει ὁ* **Zeller** *λέγων, ὅτι ὁ Χρόνος ἢ Κρόνος σημαίνει τὸ περίγειον καὶ ἐγγύτερον τῇ γῇ κείμενον μέρος τοῦ οὐρανοῦ καὶ τὴν τοῦ χώρου τούτου ἄρχουσαν θεότητα*[21].

Τοσαῦτα μὲν οὖν περὶ τῶν δύο ἀρχῶν τῆς Φερεκυδείου θεογο-

---

20) Ἀπιθάνως ὁ ***Preller*** σελ. 356 ἀνάγει τὴν ἕδραν τοῦ Χρόνου εἰς τὸν αἰθέρα, ὄντα, ὡς εἴρηται, ἕδραν τῆς τοῦ Διὸς κυριαρχίας.

21) Ἀξίους παραθέσεως ἐνταῦθα νομίζομεν τοὺς λόγους τοῦ ***Zeller*** ἔχοντας I⁴, 72, σημ. 5 ὧδε: Ἐν τῷ Κρόνῳ τοῦ Φερεκύδου ἐννοεῖται συνήθως ὁ χρόνος, οἷον ἤδη ὑπὸ τοῦ Ἑρμείου καὶ Πρόβου, ἄλλως τε καὶ αὐτοῦ τοῦ Φερεκύδου θέντος Χρόνος ἀντὶ Κρόνος καὶ ὑπεμφαίνοντος τὴν σημασίαν ταύτην· πλὴν ἀλλ' ὅμως ἀπίθανον φαίνεται ἡμῖν, ὅτι οὕτω ἀρχαΐζων φιλόσοφος ἠδύνατο καταλέγειν τὴν ἀφῃρημένην ἰδέαν τοῦ χρόνου ἐν ταῖς πρώταις ἀρχαῖς. Καὶ ὄντως παρίσταται ὁ Κρόνος ὥς τι συγκεκριμένον ὄν, διότι λέγεται περὶ αὐτοῦ, ὅτι ἐκ τοῦ ἑαυτοῦ σπέρματος ἐγέννησεν πῦρ καὶ πνεῦμα καὶ ὕδωρ καὶ ὅτι ἦν ἡγεμὼν τῶν θεῶν ἐν τῇ πρὸς τὸν Ὀφιονέα μάχῃ· ὅτι δὲ ἐν τούτοις σημαίνεται, ὅτι ἐν τῇ περιόδῳ τοῦ χρόνου ἐγεννήθη πῦρ καὶ πνεῦμα καὶ ὕδωρ καὶ ἡττήθη ὁ Ὀφιονεύς, τοῦτο οὐ πιστεύω. Ἐὰν δὲ οἱ πρὸς τὸν Ὀφιονέα ἀγωνιζόμενοι θεοὶ παριστῶσι δυνάμεις τῆς φύσεως, τότε καὶ ὁ ἡγεμὼν τῶν θεῶν τούτων Κρόνος παρίστησι ὑλικώτερόν τι ἢ τὸν ἁπλοῦν χρόνον· καὶ ἐὰν ἐκ τοῦ σπέρματος τοῦ χρόνου γεννῶνται πῦρ κ.τ.λ., τότε νομιστέον καὶ τὸ σπέρμα τοῦτο ὑλικήν τινα ὑπόστασιν καὶ κατὰ ταῦτα καὶ τὸν χρόνον ἐκπροσωποῦντα μέρος ἢ μέρη τοῦ σύμπαντος. Ἀναλογιζόμενοι δέ, ὅτι πῦρ, πνεῦμα καὶ ὕδωρ γεννῶνται ἐν τῇ ἀτμοσφαίρᾳ, καταιγίδος ἐγειρομένης, ὅτι ὁ ζωογόνος ὑετὸς ἐν τῷ περὶ οὐρανοῦ μύθῳ παρίσταται ὡς σπέρμα τοῦ οὐρανίου θεοῦ, ὅτι καὶ ὁ χρόνος κατὰ τὴν πρώτην αὐτοῦ σημασίαν οὐκ ἐστὶ θεὸς τοῦ χρόνου ἐν ἀφῃρημένῃ ἐννοίᾳ **(in abstracto)**, ἀλλὰ θεὸς

νίας, τοῦ Διὸς καὶ τοῦ Χρόνου, νῦν δὲ δεῦρ' ἐξετάσωμεν καὶ τὴν τρίτην αὐτῆς ἀρχήν, τὴν Χθόνα ἢ Χθονίαν, τὴν κατὰ Ἑρμείαν καὶ Πρόβον (πρβ. ἄνω σελ. 47) παθητικὴν ἀρχὴν καὶ γῆν. Πάντες σχεδὸν οἱ νεώτεροι ὑπολαβόντες τὴν Χθόνα ἢ Χθονίην παθητικὴν ἀρχὴν ἀποφαίνονται ὅτι αἱ λέξεις αὗται σημαίνουσιν οὐχὶ τὴν γῆν, ἀλλ' ἕτερόν τι. Ὁ ***Sturz*** *(σελ. 50. 51) νομίζει ὅτι Χθὼν καὶ Χθονίη σημαίνει τὸ χάος, ἐν ᾧ τὰ πάντα ἔκειντο μεμιγμένα πρὸς ἄλληλα, εἶτα δὲ ὁ Ζεὺς συζυγεὶς τῇ Χθονίῃ ἤτοι τῷ Χάει διὰ τοῦ ἔρωτος καὶ γενόμενος κατὰ Πρόκλον (εἰς Πλατ. Τιμ. 3 σελ. 155 κἑ) ὅλος ἔρως παρήγαγε γῆν, πῦρ, ὕδωρ, ἀέρα. Ἀλλ' ὅμως τὰ τρία στοιχεῖα (πῦρ, ὕδωρ, πνεῦμα) ἐγεννήθησαν, ὡς ἐδείχθη ἀνωτέρω ἐκ τοῦ σπέρματος τοῦ Χρόνου μετὰ τὴν διάκρισιν τῆς χθονὸς (=χάους) εἰς ὑγρὸν καὶ στερεόν, ὁ δὲ Ζεὺς μεταβάλλεται εἰς ἔρωτα, ὡς ἐροῦμεν κατωτέρω, πολλῷ ὕστερον μέλλων νὰ διακοσμήσῃ τὸν κόσμον. Ὅθεν πολλῷ πιθανώτερα τοῦ* ***Sturz*** *εἰκοτολογεῖ ὁ* ***Preller*** *ἀποφαινόμενος, ὅτι ἡ ἐν ἀρχῇ μικτὴ καὶ χαώδης ὕλη (Χθὼν)*[22] *διὰ τῆς ἐπαφῆς τοῦ αἰθέρος διεκρίθη εἰς Γῆν καὶ Ὠγῆνα ἢ Ὠγῆνον (ὠκεανόν), συνεχίζων δὲ τὸ ἔργον τοῦτο τοῦ Διὸς*

τῆς θερμῆς τοῦ ἔτους ὥρας, τοῦ θερισμοῦ. τοῦ ἡλιακοῦ καύματος (***Preller, Griech. Mythol. I. 42*** κἑ) καὶ ὡς τοιοῦτος οὐράνιος θεός, ὅτι ἀναφαίνεται καὶ παρὰ τοῖς Πυθαγορείοις, ταυτίζουσι τὸν θόλον τοῦ οὐρανοῦ τῷ χρόνῳ καὶ λέγουσι τὴν θάλασσαν δάκρυα τοῦ Κρόνου, τότε οὐδαμῶς ταραττόμενοι ὑπὸ τῶν ἀντιρρήσεων τοῦ ***Conrad*** (σελ. 22) καὶ ***Brandis (Gesch. d. Entwick. d. Griech. Phil. I, 59)*** ἐμμένομεν τῇ ἄνω προενεχθείσῃ ἡμῶν γνώμῃ ὡς μᾶλλον πιθανῇ».

22) Τῆς χθονὸς σημαινούσης ἀδιάφορον μῖγμα ὑγροῦ καὶ στερεοῦ ἐξηγεῖται διὰ τί ὁ σχολιαστὴς τοῦ Ἡσιόδου (θεογ. 116. σελ. 239 [6]. Φερεκύδης ὁ Σύριος καὶ Θαλῆς ὁ Μιλήσιος ἀρχὴν τῶν ὅλων τὸ ὕδωρ φασὶν εἶναι, τὸ ρητὸν τοῦ Ἡσιόδου ἀναλαβόντες) λέγει, ὅτι ὁ Φερεκύδης σὺν τῷ Θάλητι ἔφασκεν ἀρχὴν πάντων τὸ ὕδωρ, ἔτι δὲ ὁ Ἀχιλλεὺς Τάτιος (ἐν Ἀράτου φαινομένοις κεφ. 3 σελ. 123 [E] ἔκδ. ***Petau.*** Θαλῆς ὁ Μιλήσιος καὶ Φερεκύδης ὁ Σύριος ἀρχὴν τῶν ὅλων τὸ ὕδωρ ὑφιστῶσιν· ὃ δὴ καὶ χάος καλεῖ ὁ Φερεκύδης, ὡς εἰκός, τοῦτο ἐκλεξάμενος παρὰ τοῦ Ἡσιόδου οὕτω λέγοντος [θεογ. 116] ἤτοι μὲν πρώτιστα χάος γένετο : παρὰ γὰρ τὸ χεῖσθαι ὑπολαμβάνει τὸ ὕδωρ χάος ὠνομάσθη) καὶ ὁ Τζέτζης (εἰς Λυκοφρον. 145 παλαιὰν τὴν θάλασσαν λέγει διὰ τὸ πρῶτον

ὁ Χρόνος γεννᾷ ἐκ τοῦ σπέρματος αὐτοῦ τὰ τρία εἰρημένα στοιχεῖα (πῦρ κ.τ.λ.), ὁ δὲ ***Sturz*** *συγχέων τὰ πράγματα ταυτίζει τὸ ἔργον τοῦ Διὸς καὶ τοῦ Χρόνου. Τέλος δὲ μνημονευτέον καὶ τὴν γνώμην τοῦ* ***Brandis*** (σελ. 80 ***Gesch. der Griech. Phil.***) *ἐννοοῦντος ἐν τῇ λέξει Χθὼν τὴν πρώτην ὕλην διάφορον τῆς μετὰ ταῦτα ἀναφανείσης γῆς. Οὕτω τοίνυν ἡ τρίτη ἀρχὴ τῆς φερεκυδείου θεογονίας (ἡ Χθὼν) ἀναμιμνήσκει τὸ μῖγμα τοῦ Ἀναξιμάνδρου (πρβ. Ἀριστοτελ. Μετὰ τὰ Φυσικ. XII*, 2 1069 6, 20: *Καὶ τοῦτ᾽ ἔστι τὸ Ἀναξαγόρου ἓν καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου), ὡσαύτως δὲ καὶ ἡ διάκρισις τῆς Χθονὸς εἰς Γῆν καὶ Ὠκεανὸν καὶ ἡ μετ᾽ αὐτὴν ἐκ τοῦ Χρόνου γέννησις τοῦ πυρός, τοῦ ὕδατος, καὶ τοῦ ἀέρος ἀναμιμνήσκει τοῦ Ἀναξιμάνδρου τὴν μίξιν, ἐξ ἧς κατὰ πρῶτον ἐγεννήθη ἡ γῆ καὶ τὸ ὕδωρ, εἶτα δὲ ὁ ἀὴρ καὶ τὸ πῦρ. Πρβ.* ***Conrad p.*** 26. 33. *ἔτι δὲ καὶ* ***Zeller I⁴*** 205 *καὶ* 206, *ἔνθα ἀναγινώσκεται ὅτι ἐκ τῆς τοῦ Ἀναξιμάνδρου ῥευστῆς τοῦ κόσμου ὕλης ἀπεκρίθη, ἡ γῆ, ὁ ἀὴρ καὶ σφαῖρα φλογός Τοσαῦτα μὲν καὶ περὶ τῶν παρὰ Διογένει τῷ Λαερτίῳ μνημονευομένων τριῶν ἀρχῶν τῆς φερεκυδείου θεογονίας.*

Τί δὲ σημαίνουσιν αἱ ἐφεξῆς παρὰ τῷ Λαερτίῳ ἀναγινωσκόμεναι λέξεις

Χθονίῃ δ᾽ οὔνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῇ Ζεὺς γέρας διδοῖ·

Καὶ ποῖόν ἐστι τὸ γέρας ὅπερ λαβοῦσα παρὰ τοῦ Διὸς ἡ Χθονίη ὠνομάσθη Γῆ; **Ὁ Sturz** *(p. 40. 45) ἑπόμενος τῷ* ***Tiedemann*** *(p. 172, σημ.) λέγει, ὅτι «γέρας διδοῖ» σημαίνει τὴν κίνησιν*[23], *δι᾽ ἧς*

εἶναι στοιχεῖον κατὰ Φερεκύδην καὶ Θαλῆν). Σέξτος ὅμως ὁ Ἐμπειρικὸς (κατὰ Μαθηματικῶν 9, 5 § 360) παραδίδωσιν, ὅτι ὁ μὲν Φερεκύδης ἀπέφηνεν «γῆν τὴν πάντων εἶναι ἀρχήν», ὁ δὲ Θαλῆς τὸ ὕδωρ. Τῆς Χθονὸς ὅμως ἢ Χθονίης οὔσης μετὰ τοῦ Διὸς καὶ τοῦ Χρόνου ἀρχῆς, τῶν δὲ ἐκ τοῦ Διὸς διακριθέντων Γῆς καὶ Ὠκεανοῦ, καὶ τῶν τριῶν ἐκ τοῦ Χρόνου γεννηθέντων πυρός, πνεύματος καὶ ὕδατος καλουμένων ἁπάντων στοιχείων, συμφανὲς καθίσταται, ὅτι συγχέουσι τὰς ἀρχὰς καὶ τὰ στοιχεῖα πρὸς ἄλληλα οἱ καλοῦντες τὸ ὕδωρ, τὴν γῆν, τὸ πῦρ καὶ τὸ πνεῦμα ἀρχὰς καὶ οὐχὶ στοιχεῖα.

23) Κίνησις ἐνταῦθα σημαίνει οὐχὶ τὴν κίνησιν τῆς γῆς ἀλλὰ τὴν

*τὸ πρὶν συγκεχυμένον Χάος ἀχθὲν εἰς τάξιν ὑπὸ τοῦ ἔρωτος παρήγαγε τὴν γῆν, τὸ πῦρ, τὸ ὕδωρ, τὸν ἀέρα. Ὁ **Zimmermann** (σελ. 189) ὑπολαμβάνει, ὅτι ὁ ἄμορφος πρὶν ὄγκος τῆς Χθονίης λαβὼν τὸ γέρας ἤτοι τὸν πέπλον, ἐν ᾧ ἐνύφαστο ἡ ποικιλία τοῦ ὕδατος καὶ τῆς ξηρᾶς, ὠνομάσθη γῆ. Ὁ **Preller** (σελ. 353) ἀνάγει τὴν ῥῆσιν «γέρας διδοῖ» εἰς τὴν ὑπὸ τοῦ δημιουργικοῦ αἰθέρος ἐπαφὴν τῆς γῆς, εἰς τὸν γάμον τοῦ Διὸς μετὰ τῆς Χθονίας, γενομένης οὕτω παμμητείρας, καὶ ἑστίας τοῦ σχηματιζομένου κόσμου. Ὁ **Conrad** (p. 32) ἀποδοκιμάζων τὰς γνώμας τῶν ἄλλων, καθ' οὓς γέρας σημαίνει τὸν τὴν ποικίλην ἐπιφάνειαν τῆς γῆς παριστῶντα πέπλον ἀποφαίνεται, ὅτι παρὰ Φερεκύδῃ ἡ ὑπὸ τοῦ Διὸς ἀπονεμηθεῖσα τιμὴ τῇ Χθονίῃ ἦν ἡ πρὸς αὐτὴν μίξις αὐτοῦ, δι' οὗ ἔγγυος γενομένη ἐγέννησε τὴν μεγάλην γενεὰν τῶν θεῶν, συνέβη δὲ τοῦτο μετὰ τὴν γέννησιν τῶν στοιχείων, ὅτε ὁ Ζεὺς ἤρξατο τῆς δημιουργίας τοῦ κόσμου. Πρβ. Καὶ σελ. 39 τῆς τοῦ **Conrad** πραγματείας.*

*Τέλος δὲ παραθέσεως ἀξίους ἡγούμεθα καὶ τοὺς λόγους τοῦ **Zeller** ἔχοντας ὧδε (I[4], 72 σημ. 3:) ὑπὸ τῇ λέξει γέρας ἐννοητέον οὔτε μετὰ τοῦ **Tiedemann** (**Griechenland's erste Philosophen** σελ. 172), **Sturz** [24] (σελ. 45) καὶ ἄλλων «τὴν κίνησιν», οὔτε μετὰ τοῦ **Bran-***

ἑλκτικὴν ἐκείνην δύναμιν τοῦ ἔρωτος, δι' ἧς ἐκ τοῦ Χάους προῆλθον τὰ ὄντα. Περὶ τῆς παρανοήσεως τῶν λόγων τοῦ **Sturz** ὑπὸ **Zeller** πρβ. κατωτέρω σελ. 70. Τῆς παρανοήσεως ταύτης αἰτία ἐγένετο ὁ **Brandis** (**Gesch. d. griech-röm. Philosophie** σελ. 80 σημ. **c.**) λέγων, ὅτι ὁ **Tiedemann** μετὰ καὶ ἄλλων ἐννοεῖ ἐν τῷ γέρας τὴν κίνησιν τῆς γῆς. Ὄντως ὁ **Tiedemann** ἐν σελίδι 184 παραδέχεται τὴν κίνησιν τῆς γῆς, ἀλλ' ἐν σελίδι 172 ἑπόμενος τῷ **Brucker** (**Hist. crit. Phil.**) ἐννοεῖ τὴν κινητικὴν δύναμιν τὴν παραγαγοῦσαν τὸ Χάος εἰς τάξιν.

24) Κακῶς ὁ **Zeller** καταλέγει τὸν **Sturz** (σελ. 40[2] καὶ οὐχὶ 45, ὡς γράφει ὁ **Zeller**) ἐν τοῖς διατεινομένοις παρὰ Φερεκύδῃ τὴν κίνησιν τῆς γῆς· ἐν γὰρ τῇ εἰρημένῃ σελίδι 40 ἀναγινώσκεται μὲν παρὰ **Sturz** ἡ λέξις **motus**= κίνησις, ἀλλ' αὕτη οὐδαμῶς σημαίνει τὴν κίνησιν τῆς γῆς (ἴδε ἀνωτέρω σελ. 56), ὡς καθίσταται ἀρίδηλον ἐξ ὅσων ἀναγινώσκομεν παρὰ **Sturz** (σελ. 48), διαρρήδην λέγοντι, ὅτι κατὰ τοὺς ἀρχαίους φιλοσόφους ἡ γῆ ἠρεμεῖ, ὁ δὲ οὐρανὸς κινεῖται, καὶ ἐναντιοφρονοῦντι τοῖς παραδεχομένοις, ὅτι ὁ Πυθαγόρας ἀπένειμε τῇ γῇ κίνησιν.

dis τὴν ἀρχικὴν κατὰ ποιὸν ὡρισμένην μορφὴν **die ursprüngliche qualitative Bestimmtheit)**, διότι τοῦτό ἐστι λίαν ἀφῃρημένη ἰδέα ὡς πρὸς τὸν Φερεκύδην, κινουμένην δὲ δυσκόλως ἠδύνατο διανοηθῆναι τὴν γῆν, ἄλλως τε καὶ ἀμφότεραι αὗται αἱ ἑρμηνεῖαι οὐχ ὑπάρχουσιν ἐν ταῖς λέξεσιν «ἐπειδὴ Ζεὺς γέρας διδοῖ». Κατὰ τὴν ἐμὴν δὲ γνώμην ὑπὸ τῇ λέξει γέρας ἐννοητέος ἢ ὁ μετ' ὀλίγον μνημονευθησόμενος κόσμος τῆς ἐπιφανείας τῆς γῆς (ὁ πέπλος, ᾧ τινι ὁ Ζεὺς ἐκάλυψε τὴν γῆν) ὅπερ φαίνεταί μοι καὶ τὸ πιθανώτερον, ἢ μετὰ τοῦ **Conrad** σελ. 32 ἡ τιμὴ τῆς συζεύξεως αὐτῆς τῷ Διΐ, δι' οὗ ἡ γῆ ἐγένετο μήτηρ πολλῶν θεῶν (πρβ. I^4, 74 σημ. 2). Παρὰ τὸ γέρας παράγει ὁ Φερεκύδης τὴν λέξιν γῆ. ἕνεκα δὲ τούτου οὐ δυνάμεθα μετὰ τοῦ **Rose, De Arist. libr. ord.** 74 μεταγράφειν τὸ γέρας εἰς πέρας, ἄλλως τε καὶ ἡ ἐκ τῆς νέας ταύτης γραφῆς προκύπτουσα ἔννοια φαίνεταί μοι ἀσύστατος. Ἤδη πρὸ τοῦ **Rose** προὔτεινεν ὁ **Fries (Geschichte der Phil. I, 93)** πέρας ἀντὶ γέρας, ὅπερ ἀποδοκιμάζει ὁ **Prèller** ἐν **Ersch-Gruber** σημ. 10.

Αὕτη ἡ ἑρμηνεία τοῦ **Zeller** περὶ τοῦ γέρας, μᾶλλον δὲ ἡ τοῦ **Zimmermann** (ἄνω σελ. 57) οὖσα νῦν γενικῶς παραδεκτὴ καὶ ἀναμφιβόλως ἡ καλλίστη καταλείπει ἀλύτους καί τινας ἀσαφείας. Ἐν τίνι ἔκειτο τὸ γέρας οὐκ ἠδύνατό τις εἰκάζειν μὴ γινώσκων τὸ σύστημα τοῦ Φερεκύδου, ἔτι δὲ πρὸς τούτοις καὶ ἡ ἑρμηνεία φαίνεται λίαν παράδοξος, διότι ἡ ἐτυμολογικὴ παιδιὰ τοῦ Γῆ καὶ Γέρας ἡρμήνευεν ἂν τὴν λέξιν Γῆ οὐχὶ ὅμως τὴν λέξιν Χθονίην, περὶ ἧς πρόκειται. Ταῦτα ἀντιλέγων ὁ **Diels** ἐν τῇ εἰρημένῃ αὐτοῦ πραγματείᾳ καὶ διατεινόμενος, ὅτι ἡ τοῦ Διογένους γραφὴ προσαρμοσθεῖσα αὐθαιρέτως πρόκειται παρὰ τῷ **Cobet** ὡς ἡ ἀρίστη, ἣν παρέχουσι δῆθεν τὰ χειρόγραφα, ἐξετάζων τὴν ἀρχαίαν παράδοσιν εὑρίσκει ὡς παραδεδομένην γραφήν : ἐπειδὴ αὐτῇ Ζὰς γῆν γέρας διδοῖ». Ἐν τῇ πενταμύχῳ παρεδέξατο ὁ Φερεκύδης τρεῖς προσωποιηθείσας ἀρχάς, ἐξ ὧν ἐδημιουργήθη ὁ κόσμος, τὸν Δία, τὸν Χρόνον καὶ τὴν Χθονίην. Τὸ ὄνομα τοῦ Διὸς ἦν ἐν τῇ ἐπικῇ καὶ θεολογικῇ ποιήσει καθωρισμένον, ὁ Χρόνος ἐγένετο γνωστὸς διὰ τῆς ὀρφικῆς θεολογίας, τὴν δὲ θεὰν Χθονίην εἰσαγαγὼν πρῶτος ὁ Φερεκύδης ὑπέλαβεν ἀναγκαῖον ἐπισυνάψαι ἐξήγησιν τοῦ ὀνόματος γράφων κατὰ τὴν διόρθωσιν τοῦ **Diels:** Ἐπειδὴ αὐτῇ Ζὰς γῆν γέρας διδοῖ. Κατὰ τὴν εὐφυεστάτην ταύτην μεταβολὴν ἔχομεν πρὸ ὀφθαλμῶν οὐχὶ φαντασιώδη ἐτυμολογικὴν παι-

διάν, ἀλλὰ λίαν νηφάλιον ἑρμηνείαν· «Ἡ θεὰ Χθονίη ἔλαβε τὸ ὄνομα Γῆ, ἐπειδὴ ὁ Ζεὺς διδοῖ[25] *αὐτῇ (=τῇ Χθονίῃ) γέρας τὴν Γῆν». Εὐνόητον τοίνυν καθίσταται, ὅτι ἐν τοῖς χρόνοις τοῦ ὑλοζωϊσμοῦ αἱ αἰωνίως ἐνεργοῦσαι πρῶται δυνάμεις συνδέδενται ὑλικαῖς ὑποστάσεσι καὶ οἱ κοσμογονικοὶ Θεοὶ ἔχουσι συγκεκριμένας ἕδρας τῆς ἑαυτῶν ἀρχῆς· ὥσπερ δὲ ὁ Ζεὺς ἐξελέξατο τὸν αἰθέρα ὡς τόπον τῆς ἑαυτοῦ ἐνεργείας (ἴδε ἄνω σελ.* 48), *ὁ δὲ χρόνος κατά τινας ἀμοιρῶν τοιαύτης ἕδρας εἶχε κατὰ τὸν* **Zeller** *τὸ πρόσγειον μέρος τοῦ οὐρανοῦ, οὕτω κατὰ τὸν* **Diels** *καὶ ἡ αἰωνία τρίτη ἀρχὴ τῆς Φερεκυδείου θεογονίας εἶχεν ἕδραν τὴν γῆν. Τὴν διαίρεσιν τῶν ἐξουσιῶν τούτων ρυθμίζει ἡ ὑπερτάτη ἀρχή, ὁ Ζεύς, διεμορφώθη δὲ ἡ τοιαύτη τοῦ κόσμου διανομὴ κατὰ τὸν* **Diels** *ἤδη παρ' Ὁμήρῳ, λέγοντι ἐν Ἰλ. Ο.* 187 *κέ*

τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης, ἐνέροισιν ἀνάσσων·
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·
ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν·
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.

Ἐὰν τοῦτο τὸ ἤδη ἐν τῷ εἰς Δήμητρα ὕμνῳ μιμηθὲν χωρίον τοῦ Ὁμήρου εἶχε πρὸ ὀφθαλμῶν καὶ ὁ Φερεκύδης, τότε καὶ ἡ λέξις γέρας ὡς συνώνυμος τῆς παρ' Ὁμήρῳ τιμῆς οὐχὶ παράδοξος φαίνεται

Σημειωτέον δέ, ὅτι καὶ ἡ ἡγουμένη ῥῆσις παρὰ Λαερτίῳ, ἐξ ἧς ἄρχεται ἡ Φερεκύδειος βίβλος

Ζεὺς μὲν καὶ Χρόνος ἐς ἀεὶ καὶ Χθὼν ἦν οὐκ ἔχει ὑγιῶς, πρῶτος δὲ ὁ **Weil** *ἔν τινι αὐτοῦ πραγματείᾳ* **sur les Anciens prosateurs io-**

25) Ἡ ἐξήγησις τοῦ ἐνεστῶτος διδοῖ ἡ γενομένη ὑπὸ τοῦ **Diels** φαίνεται ἡμῖν οὐχὶ καταληπτή· πολλῷ φυσικωτέρα φαίνεται ἡμῖν ἡ ἐκδοχὴ τοῦ διδοῖ ἐπὶ τῆς σημασίας ἱστορικοῦ ἐνεστῶτος. Τολμῶμεν δὲ προενεγκεῖν καὶ τήνδε τὴν τροποποίησιν τῆς γραφῆς τοῦ **Diels**: Χθονίῃ δὲ οὔνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτὴν (=τὴν Γῆν) Ζὰς γέρας διδοῖ (ἐννοητέον ἔξωθεν Χθονίῃ) ἡγούμενοι τὴν γραφήν: γῆν γέρας διδοῖ: ὥς τι τραχεῖαν.

niens ἐκτετυπωμένη ἐν ***Revue de philologie 1878*** *πραγματευόμενος (σελ. 84) περὶ τοῦ χωρίου τοῦ Διογένους παρετήρησεν, ὅτι ἡ μὲν ρῆσις ἐς ἀεὶ τιθεμένη ἐπὶ μέλλοντος χρόνου συντάσσεται ἐνταῦθα παρατατικῷ (ἦν), εἶτα δέ, ὅτι ἐκ τῶν τριῶν παρὰ Διογένει ἀρχῶν κατὰ λίαν παράδοξον τρόπον μόνη ἡ ἀρχὴ τῆς Γῆς λέγεται ἀδιαφόρως ἐν τῇ μιᾷ μὲν προτάσει Χθών*[26]*, ἐν τῇ ἑτέρᾳ δὲ Χθονίη τοῦ συγγραφέως ὀφείλοντος ποιήσασθαι χρῆσιν ἑνὸς τύπου. Παραβάλλων δὲ ὁ* ***Weil*** *τὸ χωρίον τοῦ Δαμασκίου (σελ. 51 τῆς ἡμετέρας πραγματείας): Φερεκύδης δὲ ὁ Σύριος Ζάντα μὲν εἶναι ἀεὶ καὶ Κρόνον καὶ Χθονίαν: εἰκάζει, ὅτι καὶ παρὰ Λαερτίῳ ἐγέγραπτο Χθονίη ἀντὶ Χθὼν καὶ ὅτι καὶ ὁ Ζεὺς ἐδηλοῦτο ὑπὸ τοῦ Φερεκύδου τῷ ὀνόματι Ζάς, ὅπερ μνημονεύεται δοθὲν αὐτῷ ὑπὸ τοῦ Φερεκύδου παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ (Στρωμ* ***VI, p. 264****: Φερεκύδης ὁ Σύριος λέγει· Ζὰς ποιεῖ φάρος μέγα τε καὶ καλὸν καὶ τὰ λοιπά), μᾶλλον δὲ Ζής, διότι οὗτός ἐστιν ὁ ἰωνικὸς τύπος κατὰ Ἡρωδιανὸν (περὶ μονήρους λέξεως σελ. 6, 14: Ὅτι δὲ ποικίλως εἴρηται ὑπὸ παλαιῶν ὁ Θεὸς οὐκ ἀγνοῶ· καὶ γὰρ Δὶς καὶ Ζὴν καὶ Ζὰν καὶ Ζὰς καὶ Ζὴς παρὰ Φερεκύδῃ κατὰ κίνησίν τινα· ὑπὸ Βοιωτῶν καὶ Δεὺς καὶ Δάν. Πρβ.* ***Preller*** *σελ. 352 σημ. 5) Ἕνεκα τῶν λόγων τούτων ὁ* ***Weil*** *γράφει παρὰ Λαερτίῳ «Ζὴς μὲν καὶ Χρόνος ἔσαν αἰεὶ καὶ Χθονίη»· Χθονίῃ δὲ οὔνομα κ.τ.λ., ὁ δὲ* ***Diels*** *παραδεχόμενος τὰ ὑπὸ τοῦ* ***Weil*** *παρατηρηθέντα ἐν τοῖς καθόλου γράφει.*

Ζὰς μὲν καὶ Χρόνος ἦσαν ἀεὶ καὶ Χθονίη·

Χθονίῃ δὲ ὄνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῇ Ζὰς γῆν γέρας διδοῖ

---

26) Κατὰ τὸν ***Conrad*** (σελ. 31 κέ) Χθὼν ἐσήμαινε παρὰ Φερεκύδῃ τὸ χάος, τὴν πρώτην ὕλην, τὴν περιλαμβάνουσαν πλὴν τοῦ αἰθέρος τὰ σπέρματα πάντων τῶν πραγμάτων. Ἐκ τῆς Χθονὸς (=Χάους) διὰ τῆς ἐνεργείας τοῦ Διός ἤτοι τοῦ αἰθέρος ἐγεννήθησαν τὰ στοιχεῖα Γῆ, ὕδωρ, πνεῦμα, πῦρ, ἡ δὲ ἐκ τοῦ χάους διακριθεῖσα μᾶζα τῆς Γῆς ὠνομάσθη πρὸς διάκρισιν ἀπὸ τῆς Χθονὸς Χθονίη. Ἀλλ' ὥσπερ ἐλέχθη ὁ Χρόνος ἐγέννησεν ἐκ τοῦ γόνου αὐτοῦ πῦρ, πνεῦμα καὶ ὕδωρ. Πρβ. καὶ ***Zeller I***^{4}***. 75,*** σημ. 2. Ἀλλὰ διὰ τῆς ὑπὸ τοῦ ***Weil*** εἰσαχθείσης νῦν γραφῆς παρὰ Διογένει ἐξελέγχονται τὰ εἰκοτολογήματα τοῦ ***Conrad*** περιττά.

σημειούμενος ἐν σημ. 4 τῆς 13 *σελίδος τάδε· «οὕτως ἀνεγινώσκετο ἴσως ἐν τῷ ἀρχετύπῳ κώδικι. Ἀλλὰ τὰ ἀπόγραφα ἐπλανήθησαν παρανοήσαντα τὸ συντόμως γεγραμμένον* ῏Ηϲ [=*ἦσαν*]. *Τὸ ἀπόγραφον Β παρέχει τὴν γραφὴν* ῏*Ησ ἀεὶ ἐκληφθέντος τοῦ ταχυγραφικοῦ σημείου τῆς συντομίας ὡς διορθώσεως τῆς ψιλῆς, τὸ δὲ ἀπόγραφον P ἐν μείζονι πλάνῃ εἰσαεί. Ἀντὶ Χθονίῃ παρέχει τὸ ἀπόγραφον Β Χθόνην, τὸ δὲ Π τὸ ὑποβολιμαῖον Χθὼν ἦν. Τοῦ ὀρθοῦ ἐπέτυχεν ὁ* **Weil** *πλὴν ὅτι οὐκ ὤφειλε συνηγορεῖν ὑπὲρ τοῦ διαλεκτικῶς καὶ παλαιογραφικῶς μακρὰν κειμένου ἔσαν». Καὶ περὶ τῆς γραφῆς Ζὰς λέγει ὁ* **Diels** *ἐν σημ.* 1 *τῆς* 12 *σελίδος τάδε: Ὁ τύπος Ζὰς βεβαιοῦται οὐ μόνον παρὰ Διογένει, ἀλλὰ καὶ παρὰ Κλήμεντι καὶ Δαμασκίῳ. Πῶς ὅμως ὁ δωρισμὸς οὗτος συνᾴδει πρὸς τὸν λοιπὸν Ἰωνισμὸν (τῆς Φερεκυδείου βίβλου) καὶ πρὸς τὸν παρ' Ἡρωδιανῷ (II* 911 L) *καὶ παρ' ἄλλοις μαρτυρούμενον περὶ Φερεκύδου τύπον Ζής, τοῦτο οὐ κατανοῶ». Πρβ.* **Kern** *σελ.* 93 *σημ.* 64, *ἐξηγούμενον, ὅτι ὁ τύπος Ζὰς ὢν Ἰωνικὸς ἔχει καλῶς παρὰ Φερεκύδῃ, δυναμένῳ ποιεῖσθαι χρῆσιν κατ' ἀναλογίαν καὶ τοῦ τύπου Ζής. Πρβ.* **Collitz** *ἐν* **Bezzenberger's Beiträgen zur Kunde der indogermanischen Sprachen** *X. p. 51 κἑ.*

Πρὸς περαιτέρω δὲ κατανόησιν τῆς Φερεκυδείου θεογονίας ἐπανερχόμεθα εἰς τὸν Δαμάσκιον προστιθέντα εἰς τὰ περὶ Χρόνου ἐν τοῖς ἔμπροσθεν εἰρημένα τάδε

> *ἐξ ὧν ἐν πέντε μυχοῖς διῃρημένων πολλὴν ἄλλην γενεὰν συστῆναι θεῶν τὴν πεντέμυχον καλουμένην· ταὐτὸν δὲ ἴσως εἰπεῖν πεντέκοσμον* 27.

Ἐν πέντε τοίνυν ἀποκρυφαῖς λέγει ὁ Δαμάσκιος, ὅτι ἐγένετο

---

27) Τὸ χωρίον τοῦ Δαμασκίου χάριν μείζονος σαφηνείας τῶν ἄνω λεγομένων παρατίθεται ὅλον ἐνταῦθα: Φερεκύδης δὲ ὁ Σύριος Ζάντα μὲν εἶναι ἀεὶ καὶ Χρόνον καὶ Χθονίαν, τὰς τρεῖς πρώτας ἀρχάς, τὴν μίαν φημὶ πρὸ τοῖν δυοῖν καὶ τὰς δύο μετὰ τὴν μίαν· τὸν δὲ Χρόνον ποιῆσαι ἐκ τοῦ γόνου ἑαυτοῦ πῦρ καὶ πνεῦμα καὶ ὕδωρ, τὴν τριπλῆν οἶμαι φύσιν τοῦ νοητοῦ· ἐξ ὧν ἐν πέντε μυχοῖς διῃρημένων πολλὴν ἄλλην γενεὰν συστῆναι θεῶν, τὴν πεντέμυχον καλουμένην, ταὐτὸν δὲ ἴσως εἰπεῖν τὴν πεντέκοσμον. Πολλὴν ἄλλην γενεὰν παρέχουσιν οἱ κώδικες, ὅπερ παραληφθὲν ἐν τῇ ἐκδόσει τοῦ **Kopp** ἐπήγαγε παρανόησιν τῆς ῥήσεως ἐξηγουμένης ὑπὸ τῶν ἑρμηνευτῶν, οἷον τοῦ **Conrad** κ.τ.λ.

πολλὴ ἄλλη γενεὰ θεῶν ἐξ ὑποστάσεων διακεκριμένων ἀλλήλων. Διαφωνίαν δὲ παρὰ τοῖς νεωτέροις παρέσχεν ἡ ῥῆσις «ἐξ ὧν», ἣν ὁ μὲν **Brandis** *(p. 81). Καὶ ὁ* **Zeller** *I,[4] 74) ἀνάγουσιν εἰς τὰς τρεῖς πρώτας ἀρχὰς* (Ζάντα, Χρόνον, Χθονίαν), ὁ δὲ **Zimmermann** *καὶ κατ' αὐτὸν ἐν τοῖς νεωτέροις ὁ* **Kern** *(p. 102) εἰς τὰ τρία στοιχεῖα* (πῦρ, πνεῦμα καὶ ὕδωρ). *Ἀλλ' ὅμως ἡ ῥῆσις «ἐξ ὧν» φαίνεται περιλαμβάνουσα τάς τε ἀρχὰς καὶ τὰ στοιχεῖα, ὥσπερ ὑπολαμβάνει ὁ* **Preller** *(355) ὁμογνωμονοῦντος αὐτῷ καὶ τοῦ* **Conrad. Τοῦ χρόνου** οὐδεμίαν, ὡς εἴρηται, ὑπόστασιν ἔχοντος, ὑπολείπονται δύο ἀρχαὶ ὁ Ζεὺς (αἰθὴρ) καὶ ἡ Χθονία (Γῆ), *προστιθεμένων τῶν τριῶν στοιχείων πυρός, πνεύματος καὶ ὕδατος ἀποτελοῦνται πέντε ὑποστάσεις διῃρημέναι ἐν πέντε ἀποκρυφαῖς* (μυχοῖς). Ὁ **Sturz** *(p. 43) ὀρθῶς μὲν οὐδεμίαν ὑπόστασιν ἀπονέμει τῷ Χρόνῳ, σφάλλεται ὅμως νομίζων, ὅτι τὰ τρία στοιχεῖα σὺν τῷ αἰθέρι καὶ τῷ χάει* ***(haec tria elementa una cum aethere et chao divise fuisse per quinque conclavia)*** *ἦσαν διῃρημένα ἐν πέντε μυχοῖς προσφόροις τῇ φύσει ἑκάστου, ἐπιλαθόμενος, ὅτι γεννηθέντων τῶν στοιχείων καὶ διακριθείσης τῆς Χθονίας εἰς Γῆν καὶ Ὠκεανὸν ἐξηφανίσθη τὸ χάος, ὅπερ ἡγεῖτο ἐκπροσωπούμενον διὰ τῆς Χθονός. Ἀνάγων δὲ ὁ* **Preller** *εἰς τοὺς πέντε μυχοὺς πέντε ὑποστάσεις*[28] *(αἰθέρα, γῆν, πῦρ, πνεῦμα, ἀέρα) ὁρίζει καὶ τὰ ἐκ τούτων προελθόντα γένη τῶν θεῶν ὀνομάζων διαρρήδην τρία,* 1) τὸ τῶν *Ὠγενιδῶν,* 2) τὸ τῶν *Ὀφιονιδῶν καὶ* 3) τὸ *τῶν Κρονιδῶν. Καὶ ἐν μὲν τῷ μυχῷ, ἐξ οὗ προῆλθε τὸ γένος τῶν Ὠγενιδῶν, ἐπεκράτει ἡ ὑγρὰ ὑπόστασις, ἦσαν δὲ οἱ Ὠγενίδαι = Ὠκενίδαι (πρβ. Ἡσύχιον Ὠγενίδαι, Ὠκενίδαι· Ὠγήν γὰρ ὁ Ὠκεανὸς) καὶ ἐπὶ κορυφῆς αὐτῶν ἵστατο ὁ Ὠκεανὸς καὶ ἡ Θέτις (πρβ. Λυκόφρονος Ἀλεξαν.* 231 *καὶ τὴν σημείωσιν τοῦ* **Τζέτζου.** *Ἐν δὲ τῷ μυχῷ ἐξ οὗ προῆλθεν τὸ γένος τῶν Ὀφιονιδῶν (πρβ. φιλ. Βυβλ. παρ' Εὐσεβ. Εὐαγγ. προπ.* ***I, 10 p. 41***[Δ]*: παρὰ Φοινίκων καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ' αὐτῷ λεγομένου Ὀφιονέως Θεοῦ καὶ τῶν Ὀφιονιδῶν) ἐπεκράτει ἡ γήϊνος ὑπόστασις, διότι ὁ Ὀφιονεύς, ᾧ συνεζύγη ἡ Εὐρυνόμη, ἦν ἐκ τῶν Χθονίων παρ' ἕλλησι καλουμένων Θεῶν· ποίαν δὲ φύσιν εἶχεν ὁ*

28) Ἐκ τῆς ἐν τοῖς μυχοῖς κράσεως καὶ μίξεως τῶν διαφόρων ὑποστάσεων προῆλθεν ἡ ὀνομασία Θεοκρασία περὶ τοῦ φερεκυδείου βιβλίου.

Ὀφιονεὺς λέξομεν προϊόντες. Τὸ τρίτον δὲ γένος τῶν Κρονιδῶν (=Κρόνου καὶ Ῥέας· πρβ. Ἡρωδιανὸν περὶ μον. λέξεως **p. 7, 5.** *Ἡ Ῥέα Ῥῆ κέκληται ὑπὸ τοῦ Συρίου) προῆλθεν ἐκ τῆς τοῦ μυχοῦ μίξεως, ἐν ᾗ ἐπεκράτει ὁ οὐρανὸς ἢ ὁ αἰθήρ· εἰκάζει δὲ ὁ* **Preller** *καὶ τέταρτον γένος, τὸ τῶν ἄστρων, παρισταμένων ἐν τῇ ἀρχαίᾳ φιλοσοφίᾳ πρωϊαίτατα ὡς Θεῶν, ὧν ἐν τῇ μίξει ἐπεκράτει τὸ πῦρ, ἔτι δὲ καὶ πέμπτον γένος τὸ τῶν δαιμόνων κατεχόντων τὸν ὑπὸ τὴν σελήνην ἀμφίγειον ἀέρα, διότι ὁ Φερεκύδης διδάσκων τὴν μετεμψύχωσιν ἔχρῃζεν ἰδίου γένους δαιμόνων φαινομένων ὁτὲ μὲν ἄνω, ὁτὲ δὲ κάτω καὶ διατριβόντων ἐν τῷ ὑπεράνω τῆς γῆς χώρῳ· ὁ δὲ* **Conrad** *(***p. 35***) νομίζει ὅτι, ὥσπερ ὁ Ἀναξίμανδρος ἐδίδασκεν, ὅτι ἡ γῆ περιβάλλεται ὑπὸ ἀέρος, ὁ δὲ ἀὴρ ὑπὸ πυρὸς καθ' ἅπερ δένδρον ὑπὸ φλοιοῦ*[29]*, οὕτω καὶ ὁ Φερεκύδης παρέστησεν περιβαλλομένην τὴν γῆν ὑπὸ ὕδατος, τὸ ὕδωρ ὑπὸ ἀέρος, τὸν ἀέρα ὑπὸ πυρός, τὸ πῦρ ὑπὸ αἰθέρος, μυχοὶ δέ εἰσι ταῦτα τὰ πέντε παράλληλα στρώματα τῆς γῆς, τοῦ ὕδατος, τοῦ ἀέρος, τοῦ πυρός, τοῦ αἰθέρος. Πλὴν τῶν πέντε τούτων μυχῶν παραβάλλων ὁ* **Conrad** *τοὺς παρ' Ὠριγένει λόγους τοῦ Κέλσου (κατὰ Κελ.* **p. 304** *: ταῦτα δὲ τὰ Ὁμήρου ἔπη οὕτω νοηθέντα τὸν Φερεκύδην φησὶ (Κέλσος) εἰρηκέναι κείνης δὲ τῆς μοίρας ἔνερθέν ἐστιν ἡ Ταρταρίη μοῖρα. Φυλάσσουσι δὲ αὐτὴν θυγατέρες Βορέου Ἅρπυιαί τε καὶ Θύελλα, ἔνθα Ζεὺς ἐκβάλλει Θεῶν, ὅταν τις ἐξυβρίσῃ) διακρίνει ἑτέρους δύο, τὸν τοῦ Ἅιδου, ἐν ᾧ διέτριβον οἱ νεκροί, καὶ τὸν τοῦ ὑπὸ τὸν Ἅιδην Ταρτάρου, ἔνθα ἦσαν κεκλεισμένοι οἱ ὑπὸ τοῦ Διὸς τιμωρούμενοι Θεοί. Ὅθεν διαιρουμένου παρὰ τῷ Φερεκύδῃ τοῦ κόσμου εἰς ἑπτὰ μέρη (μυχούς), ἐὰν μή, λέγει ὁ* **Conrad** *ὑπὸ τοῦ Φερεκύδου, βεβαίως ὑπ' ἄλλων ὠνομάσθη ἡ θεογονία αὐτοῦ ἑπτάμυχος. Τὰ πέντε πρῶτα μέρη τοῦ κόσμου ἐκ τῶν ἑπτὰ ἐδηλοῦντο τῷ ὀνόματι πεντέμυχος*[30]*.*

---

29) Πρβ. Πλουτ. παρ' Εὐσεβ. φησὶ δὲ τὸ ἐκ τοῦ ἀϊδίου γόνιμον θερμοῦ τε καὶ ψυχροῦ κατὰ τὴν γένεσιν τοῦδε τοῦ Κόσμου ἀποκριθῆναι, καί τινα ἐκ τούτου φλογὸς σφαῖραν περιφῦναι τῷ περὶ τὴν γῆν ἀέρι, ὡς τῷ δένδρῳ φλοιόν.

30) Καὶ ὁ ***C. Müller Frag Hist. gr. p. XXXV*** ὑπερμαχεῖ τῆς ἐπιγραφῆς ἑπτάμυχος, ἣν νομίζει δοθεῖσαν ὑπὸ τοῦ Φερεκύδου τῇ θεογονίᾳ αὐτοῦ διὰ τὰς τρεῖς ἀρχὰς (Δία, ἤτοι αἰθέρα, Χθόνα ἤτοι Χάος καὶ Κρόνον ἤτοι Χρόνον) καὶ τὰ τέσσαρα στοιχεῖα (πῦρ, γῆν, ἀέρα ὕδωρ).

Τοσαῦτα μὲν καὶ ὁ **Conrad** *περὶ τῶν μυχῶν τῆς φερεκυδείου θεογονίας· ὁ δὲ* **Zeller** *(I⁴, 74, σημ. 1) ἐξετάζων τὰς εἰρημένας περὶ πεντεμύχου καὶ ἑπταμύχου ἑρμηνείας τοῦ* **Preller** *καὶ* **Conrad** *εὑρίσκει ἀμφοτέρας ἀπιθάνους γράφων: φαίνεταί μοι λίαν ἐπισφαλὲς ὑποβάλλειν τῷ ἀρχαίῳ Συρίῳ τὴν παραδοχὴν στοιχείων ἐν τῇ ἐννοίᾳ τοῦ Ἐμπεδοκλέους καὶ Ἀριστοτέλους, προϋποτιθεῖσαν πολλῷ μᾶλλον ἀνεπτυγμένην φιλοσοφικὴν θεωρίαν, καὶ τὸν τοῦ Φιλολάου ἀριθμὸν τῶν πέντε στοιχείων*[31]. *Καὶ τοῦ* **Conrad** *δὲ ἡ θεωρία ὑποβάλλει τῷ Φερεκύδῃ ἰδέαν περὶ κόσμου λίαν φυσικομαθηματικὴν καὶ τῇ Ἀριστοτελείῳ τὰ μάλα προσεγγίζουσαν. Μάλιστα δὲ ἡ παραδοχὴ ἀοράτου ἡμῖν σφαίρας πυρὸς καὶ ἡ διάκρισις τοῦ αἰθέρος ἀπὸ τοῦ πυρὸς καὶ τοῦ ἀέρος ἐστὶν κατὰ τὰ ἄλλοθεν μαρτύρια νεωτέρα». Εἰκάζει δὲ ὁ* **Zeller** *ὡς πιθανώτερον, ὅτι ὁ Φερεκύδης διέκρινεν ἐν τῇ πεντεμύχῳ θεοὺς τοῦ Ὀλύμπου, τοῦ πυρός, τοῦ ἀνέμου, τοῦ ὕδατος, καὶ τῆς γῆς. Ὁ δὲ* **Kern** *(p. 102 κἑ) ἀποδοκιμάζων μετὰ τοῦ* **Zeller** *τὴν παραδοχὴν τῶν τοῦ Ἐμπεδοκλέους στοιχείων ἐν τῇ Φερεκυδείῳ πεντεμύχῳ διαρρήδην μὲν λέγει, ὅτι εἴ ἐστι πεντέμυχος οὐ δύναται ἑρμηνευθῆναι μετὰ βεβαιότητος καὶ παρέχεται τοῖς λογίοις εὐρεῖα ἡ κέλευθος τῶν εἰκασιῶν, ἀλλ' ὅμως καὶ αὐτὸς πειρᾶται εὑρεῖν πρᾶγμα οὐδὲν ἧττον ἀβέβαιον, τὰς ἕδρας τῶν πέντε μυχῶν. Μετὰ τὸν* **Conrad** *εἰπόντα (ἴδε ἄνω σελ. 48) ὅτι ὁ Σοφοκλῆς εἶχεν ἐν τῷ περὶ ἡλίου ἀποσπάσματι τὴν περὶ Διὸς διδασκαλίαν τοῦ Φερεκύδου πρὸ ὀφθαλμῶν, ἀπεφήνατο ὁ* **Bergk** *ἔν τε τῷ δευτέρῳ τόμῳ τῆς ἑλληνικῆς αὐτοῦ γραμματολογίας καὶ ἐν τῷ τρίτῳ (σελ. 325—327) ὅτι καὶ ἐπὶ τὸ Αἰσχύλειον τοῦ Προμηθέως δρᾶμα ἔσχεν ἡ θεογονία τοῦ Συρίου μεγάλην ῥοπήν. Ὑπὸ τούτων δὲ ἀγόμενος ὁ* **Kern** *τίθησι τὸν μὲν πρῶτον τῆς πεντεμύχου μυχὸν ἐν τοῖς*

Ὑπολαμβάνων δὲ ὁ **Müller** τὸν ἀριθμὸν ἑπτὰ Ἱερὸν ἀποδοκιμάζει πᾶσαν τῆς ἐπιγραφῆς (ἑπτάμυχος) μεταβολὴν ὡς πλημμελῆ. Ἡμεῖς ἠκολουθήσαμεν τῷ **Preller** γράφοντι πεντέμυχος ἀντὶ ἑπτάμυχος, ὁμογνωμονούντων αὐτῷ ἐν τοῖς νεωτέροις τοῦ **Diels** καὶ **Kern**.

31) Καὶ τὰ ἐν τῇ σφαίρᾳ σώματα πέντε εἰσί· τὰ ἐν τᾷ σφαίρᾳ πῦρ, ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ τὰ τᾶς σφαίρας ὁλκὰς πέμπτον. Πρβ. **Ritter Hist. phil gr.** σελ. 65, 7.

ἄντροις τοῦ Ὠκεανοῦ λέγων ὅτι ἡ παρὰ Κλήμεντι ῥῆσις Ὠγηνοῦ[32] *δώματα* (Στρωμ. V 1 2, 9: *Φερεκύδης ὁ Σύριος λέγει: Ζὰς ποιεῖ φᾶρος μέγα τε καὶ καλὸν καὶ ἐν αὐτῷ ποικίλλει γῆν καὶ Ὠγηνὸν καὶ τὰ Ὠγηνοῦ δώματα*) *ἔχει μεγίστην* ὁμοιότητα *πρὸς τὸν Αἰσχύλειον στίχον* 138.

Κτύπου γὰρ ἀχὼ Χάλυβος διῆξεν ἄντρου μυχόν·

καὶ στίχον 300

ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ' ἄντρα

καὶ στίχον 395

Ἄσμενος δὲ τὰν
σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ.

Τὸν δὲ δεύτερον μυχὸν ἐν τῷ ταρτάρῳ παρατιθέμενος εἰς μαρτυρίαν τοὺς αἰσχυλείους στίχους τοῦ Προμηθέως 222 *κέ*

ἐμαῖς δὲ βουλαῖς ταρτάρου μελαμβαθὴς
κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον
αὐτοῖσι συμμάχοισιν.

Τὸν δὲ τρίτον μυχὸν ἐν τῷ Ἅδῃ, *οὗ κατωτέρω κεῖται ὁ Τάρταρος κατὰ τὸν Ἡσίοδον Θεογον.* 720

τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης.

Ἀναζητῶν δὲ ὁ **Kern** *καὶ τὸν τέταρτον καὶ πέμπτον μυχὸν ἀνευρίσκει ἐκεῖνον μὲν ἐν τῷ αἰθέρι, τοῦτον δὲ ἐν τῷ ἀέρι.*

Ἐπισκοποῦντες τὰ μέχρι τοῦδε εἰρημένα ἔχομεν ἀρχὰς τοῦ παντὸς τρεῖς, τὸν Δία, τὸν Χρόνον καὶ τὴν Χθονίην, διακριθεῖσαν ὑπὸ τοῦ Διὸς εἰς τὸ πρῶτον στερεὸν καὶ τὸ πρῶτον ὑγρόν. Ἐκ τοῦ σπέρματος τοῦ Χρόνου γεννῶνται τὰ τρία στοιχεῖα, πῦρ, πνεῦμα, ὕδωρ, ἅτινα μετὰ τῶν δύο ἀρχῶν Διὸς καὶ Χθονίης ἐν πέντε μυχοῖς διῃρημένα παράγουσι πολλὴν ἄλλην γενεὰν Θεῶν. Ὁ Ζεὺς ἀπένειμε

---

32) Περὶ τῆς ταυτότητος Ὠκεανοῦ, Ὠγηνοῦ, καὶ Ὠγύγου ἴδε ***Preller-Robert Griech. Mythol.*** ***I***[4] 31 σημ. 2, περὶ δὲ τῶν λέξεων Ὠκεάνιος καὶ Ὠγύγιος ***Wilamovitz*** ἐν ***Homerische Forschungen*** σελ. 16 κέ. Ὁ ***Jacobi*** ἐπιχειρῶν ἐξελέγχειν τοὺς διατεινομένους, ὅτι ὁ Ὠγηνός ἐστιν ὁ αὐτὸς καὶ ὁ Ὠκεανός, ἀποφαίνεται ἐρειδόμενος ἐπὶ Φοινικικῶν ἰδεῶν, ὅτι ὁ Ὠγηνός ἐστιν ὁ Ἅδης (πρβ. ***Jacobi, Ueber die Fragmente des Pherecydes bei den Kirchenvätern*** 1850.

μὲν ἑκάστῳ θεῷ γέρας, ἀλλ' αἱ χθόνιαι θεότητες μὴ ἀρκούμεναι εἰς τὰ ἑαυτῶν συνάπτουσι πόλεμον πρὸς τοὺς οὐρανίους θεούς. Τῶν χθονίων θεοτήτων ἡγεῖται ὁ Ὀφιονεύς, τῶν δὲ οὐρανίων ὁ Χρόνος, ὡς ἀναγινώσκεται ἔκ τινος χωρίου τοῦ Ὠριγένους ἀντιγράψαντος ἐκ τοῦ Κέλσου (Ὠριγεν. κατὰ Κελ. VI p. 303 Spencer) ἔχοντος ὧδε: Θεῖόν τινα πόλεμον αἰνίττεσθαι τοὺς παλαιούς, Ἡρακλείτου μὲν λέγοντος ὧδε· Φερεκύδην δὲ πολλῷ ἀρχαιότερον γενόμενον Ἡρακλείτου μυθοποιεῖν στρατείαν στρατείᾳ παρατεττομένην, καὶ τῆς μὲν ἡγεμόνα Κρόνον διδόναι; τῆς ἑτέρας δὲ Ὀφιονέα, προκλήσεις τε καὶ ἁμίλλας αὐτῶν ἱστορεῖν, συνθήκας τε αὐτοῖς γίγνεσθαι, ἵν' ὁπότεροι αὐτῶν εἰς τὸν Ὠγηνὸν ἐμπέσωσι, τούτους μὲν εἶναι νενικημένους, τοὺς δὲ ἐξώσαντας καὶ νικήσαντας τούτους ἔχειν τὸν οὐρανόν».

Ἐξετάζων δὲ ὁ Sturz (σελ. 49 κέ.) τὴν φύσιν τοῦ Ὀφιονέως καὶ ἀποδοκιμάζων τήν τε γνώμην τοῦ Ὠριγένους (αὐτόθι σελ. 304), καθ' ἣν ὁ Ὀφιονεὺς μετήχθη εἰς τὴν θεογονίαν τοῦ Φερεκύδου ἐκ τῆς παρὰ τῇ Γενέσει ἱστορίας τοῦ ὄφεως, καὶ τὴν Φίλωνος τοῦ Βυβλίου (παρ' Εὐσεβίῳ Εὐαγ. προπαρ. I 10 σελ. 51, 28 παρὰ Φοινίκων δὲ καὶ Φερεκύδης λαβὼν τὰς ἀφορμὰς ἐθεολόγησε περὶ τοῦ παρ' αὐτῷ λεγομένου Ὀφίονος θεοῦ καὶ τῶν Ὀφιονιδῶν, περὶ ὧν αὖθις λέξομεν») ὑπολαμβάνει ὅτι ὁ Ὀφιονεὺς παρίστησι συμβολικῶς τὰς ταραχὰς τῆς φύσεως κατὰ τὸν σχηματισμὸν τοῦ κόσμου λαβὼν τὸ ὄνομα ἀπὸ τοῦ ὄφεως, ὅσπερ ἐστὶ σύμβολον τῆς ἔχθρας καὶ μάχης. Ὁ δὲ **Preller**[33] (σελ. 357) διαφωνῶν πρὸς τὸν **Brandis** (σελ. 82 κέ) καλοῦντα τὸν Ὀφιονέα κακὸν θεόν, γεννηθέντα ἅμα τοῖς οὖσι, καὶ περιάπτοντα τῷ ἀρχαίῳ φιλοσόφῳ δυϊσμόν, ἑρμηνεύει τὸν Ὀφιονέα ὡς περιληπτικὸν ὄνομα τῶν δυνάμεων τῆς φύσεως, αἵτινες ἐν ταῖς ἑλληνικαῖς θεογονίαις ἀναφαίνονται ὡς Τιτᾶνες, Γίγαντες καὶ Τυφωεύς, οἷς πᾶσι κοινά εἰσι τὰ τοῦ ὄφεως χαρακτηριστικά. Οὕτω κατὰ τὸν **Gerhard** (*Auserlesene Vasenbilder III*, 237) ἀγγεῖον Χαλκιδικὸν ἐκ τῆς ἕκτης ἑκατονταετηρίδος παρίστησι τὸν Τυφωέα ἔχοντα ὀφιοειδεῖς πόδας, κατὰ δὲ τὸν **E. Kuhn** ἐν τῷ μυθολογικῷ τοῦ **Roscher** λεξικῷ σελ. 1670 ἐστὶ Γίγας ὁ ἐξεικονιζόμενος ἐν τῷ ἀγγείῳ·

33) Κακῶς ὁ **Conrad** διϊσχυρίζεται (σελ. 36), ὅτι ὁ **Preller** ὁμογνωμονεῖ τῷ **Brandis** ἐν τῷ δυϊσμῷ τοῦ Φερεκύδου· ὁ γὰρ **Preller** (σελ. 357) διαρρήδην ἀποδοκιμάζει τὴν ἰδέαν ταύτην τοῦ **Brandis**.

πρβ. καὶ Loeschcke Boreas und Oreithyia am Kypseloskasten 1886 σελ. 10 *σημ.* 29, *ἔτι δὲ καὶ Meyer Giganten und Titanen 1888 p.* 275 *κέ. Ὥσπερ δὲ κατὰ τὸν Ὕμνον εἰς Ἀπολλ. Πυθ. στιχ.* 129 *κέ, ἡ Ἥρα ὀργισθεῖσα τῷ Διῒ συλλαμβάνει τὸν Τυφωέα ἐκ τοῦ Ἅδου, οὕτω καὶ ὁ Ὀφιονεὺς ὢν τέρας τῆς χθονὸς σημαίνει τὴν ἀντίστασιν τῶν ἐγκάτων τῆς γῆς κατὰ τῆς δημιουργικῆς δυνάμεως τοῦ Διὸς* (*πρβ. Meyer σελ.* 135). *Ὅτι δὲ ὁ Ὀφιονεὺς ἐστὶν ὁ αὐτὸς τῷ Τυφῶνι*[34] *καὶ ὁμοίας φύσεως ἀπέδειξεν ἱκανῶς καὶ ὁ Meyer ἐν τῷ εἰρημένῳ αὐτοῦ βιβλίῳ σελ.* 234 *κέ. Τοσαῦτα μὲν περὶ τῆς φύσεως καὶ ὀνομασίας τοῦ Ὀφιονέως, ἐκ δὲ τῆς μάχης αὐτοῦ πρὸς τὸν Χρόνον ἐξῆλθεν νικητὴς ὁ Χρόνος, ὅσπερ παραδίδοται παρὰ Τερτυλλιανῷ (de cor. mil. 7) ὅτι πρῶτος πάντων ἐν τῷ κόσμῳ ἐστεφανώθη. Τοῦ Ὀφιονέως τοίνυν σημαίνοντος τὰς μήπω κατευνασθείσας δυνάμεις τῆς φύσεως, ἕπεται ὅτι αἱ κατώτεραι δυνάμεις ἐδαμάσθησαν ὑπὸ τῶν ἀνωτέρων ἡγουμένου τοῦ Χρόνου ἤτοι ἐν τῇ περιόδῳ τοῦ Χρόνου ἐξέλιπεν ἡ ταραχὴ καὶ ὁ μυκηθμὸς τῶν μυκωμένων στοιχείων.*

Μετὰ τὴν νίκην ταύτην τοῦ Χρόνου ἐπελθούσης ἡσυχίας, ἀναλαβὼν ὁ Ζεὺς τὸ ὑπὸ τοῦ Ὀφιονέως διακοπὲν αὐτοῦ ἔργον τῆς τοῦ κόσμου δημιουργίας καὶ διακοσμήσεως[35] *μεταβάλλεται εἰς ἔρωτα κατὰ τὸν Πρόκλον ἐν Πλάτ. Τιμαίῳ* 156 A: «*εἰκότως ἄρα φιλίας ἐστὶν αἴτιος* (*ἔρως*) *τοῖς δημιουργήμασι καὶ ὁμολογίας. Καὶ ἴσως πρὸς τοῦτο ἀποβλέπων καὶ ὁ Φερεκύδης ἔλεγεν εἰς ἔρωτα μεταβεβλῆσθαι τὸν Δία, μέλλοντα δημιουργεῖν, ὅτι δὴ τὸν κόσμον ἐκ τῶν ἐναντίων συνιστὰς εἰς ὁμολογίαν καὶ φιλίαν ἤγαγε καὶ ταὐτότητα πᾶσιν ἐνέσπειρε καὶ ἕνωσιν τὴν δι' ὅλων διήκουσαν*». *Ἐν τῇ μεταβολῇ τοῦ Διὸς εἰς ἔρωτα ὁ Φερεκύδης ἠκολούθησε τοῖς ὀρφικοῖς, παραθέσεως δὲ ἀξίαν*

34) Τυφώς, Τυφωεύς, Τυφών, Τυφάων παραγόμενα ἐκ τοῦ τύφω δηλοῦσι τὴν ταραχὴν καὶ τὸ πῦρ τῆς γῆς, ἅπερ, ὡς εἴρηται, ἐσήμαινε καὶ ὁ Ὀφιονεύς. Περὶ τῆς ὁμοιότητος ταύτης πρβ. καὶ Μαλαλᾶ ***VIII*** σελ. 197 ἐκδ. ***Bonn:*** Δράκοντος ποταμοῦ τοῦ νυνὶ λεγομένου Ὀρόντου... ὅστις τυφὼν καὶ ὀφίτης καλεῖται.

35) Τὸ διπλοῦν ἔργον τῆς δημιουργίας τοῦ Διὸς παρὰ Φερεκύδῃ ἀναμιμνήσκει τοὺς παρὰ τοῖς ὀρφικοῖς δύο σχηματισμοὺς τοῦ κόσμου, ἕνα ὑπὸ τοῦ Φάνητος καὶ ἕτερον ὑπὸ τοῦ Διός.

νομίζομεν καὶ ἄλλην μαρτυρίαν τοῦ Πρόκλου ἐν Ἀλκιβ. III σελ. 88: ἐν γὰρ τῷ Διΐ ὁ ἔρως ἐστί. Καὶ γὰρ Μῆτίς ἐστι πρῶτος γενέτωρ καὶ ἔρως πολυτερπής, καὶ ὁ ἔρως πρόεισιν ἐκ τοῦ Διὸς καὶ συνεπέστη τῷ Διΐ πρώτως ἐν τοῖς νοητοῖς· ἐκεῖ γὰρ ὁ Ζεὺς ὁ πανόπτης ἐστὶ καὶ ἁβρὸς ἔρως, ὡς Ὀρφεύς φησιν».

Πῶς δὲ ὁ Ζεὺς γενόμενος ἔρως διεκόσμησε τὰ τοῦ κόσμου περὶ τούτου ἀμυδρὸν φῶς ἐπιχέουσι τὰ τοῦ Κλήμεντος VI, 2, 9: *Φερεκύδης ὁ Σύριος λέγει: Ζὰς ποιεῖ φᾶρος μέγα τε καὶ καλὸν καὶ ἐν αὐτῷ ποικίλλει γῆν καὶ Ὠγῆνον καὶ τὰ Ὠγήνου δώματα». Τοῦτο δὲ τὸ φᾶρος κατὰ τὸν αὐτὸν Κλήμεντα VI* 6, 53 *ἢ μᾶλλον κατὰ τὸν Ἰσίδωρον, υἱὸν τοῦ Γνωστικοῦ Βασιλείδου, οὗ τὰς λέξεις μνημονεύει ὁ Κλήμης, ἐτέθη ἐπὶ πτερωτῆς δρυός: τί ἐστιν ἡ ὑπόπτερος δρῦς καὶ τὸ ἐπ᾽ αὐτῇ πεποικιλμένον φᾶρος· πάντα ὅσα Φερεκύδης ἀλληγορήσας ἐθεολόγησε, λαβὼν ἀπὸ τῆς τοῦ Χάμ*[36] *προφητείας τὴν ὑπόθεσιν». Ἡ ἑρμηνεία περὶ φάρους καὶ δρυὸς ἐπήγαγεν οὐ μικρὰν διαφωνίαν παρὰ τοῖς λογίοις. Ὁ* **Sturz** (σελ. 47 κέ) *λέγει, ὅτι ἐν τῷ ἐπὶ τῇ δρυΐ φάρει σημαίνεται ὅτι ἡ πρὶν ἀκατασκεύαστος ὕλη ἐκταθεῖσα ὑπὸ τοῦ Διὸς ἐγένετο οὐρανός, ὑπὸ δὲ τὸν οὐρανὸν προέκυψεν ὁμαλὴ ἐπιφάνεια, ἣν ὕστερον διέκρινεν εἰς ξηρὰν καὶ εἰς ὑγρὸν ἤτοι ὠκεανόν. Ἐπειδὴ δὲ ἡ δρῦς, ἐφ᾽ ἧς ὁ Ζεὺς ἀνεπέτασε τὸ φᾶρος ἤτοι τὸν οὐρανόν, ἐστὶν εἰκὼν τῆς στερρότητος καὶ διαρκείας, αἱ δὲ πτέρυγες τῆς δρυὸς σημαίνουσι κίνησιν καὶ ταχύτητα, διὰ ταῦτα ὑπολαμβάνει ὁ* **Sturz** *πιθανόν, ὅτι ὁ Ζεὺς ἐποίησε τὸν οὐρανὸν οὐ μόνον στερεὸν καὶ διαρκῆ καὶ παντοίοις τρόποις ἐκόσμησεν, ἀλλὰ καὶ κατάλληλον εἰς κίνησιν. Ὡς μᾶλλον δὲ πιθανωτέραν μνημονεύει ὁ* **Sturz** *τὴν γνώμην τοῦ Ἰωάννου Ἀλβέρτου Φαβρικίου, καθ᾽ ἣν ἡ δρῦς μετὰ τοῦ ποικίλου φάρους ἐστὶν εἰκὼν συμπάσης τῆς φύσεως τῆς εἰς μυρίας μὲν μορφὰς ἀλλοιουμένης, ἀλλ᾽ οὐδὲν ἧττον ἀρχαιοτάτης διαμενούσης καὶ κεκαλυμμένης, οἵα περιγράφεται ὑπὸ τοῦ Πλουτάρχου παρὰ τοῖς Αἰγυπτίοις ἐν τῷ περὶ Ἴσιδος καὶ Ὀσιρ. Κ.* 9. *σελ.* 354 C: *Ἐγώ εἰμι πᾶν τὸ γεγονὸς καὶ ὂν καὶ ἐσόμενον· καὶ τὸν ἐμὸν πέπλον οὐδείς πω θνητὸς ἀπεκάλυψεν». Καὶ ὁ* **Preller** (σελ.

36) Κατὰ τὸν **Zeller** *I*[4], 78 σημ. 1 τῷ ὀνόματι τοῦ Χὰμ δηλοῦται οὐχὶ ἡ αἰγυπτιακὴ καὶ φοινικικὴ σοφία, ἀλλὰ βίβλος τῶν Γνωστικῶν φέρουσα τὸ ὄνομα τοῦτο.

360) *δὲ ἐννοεῖ ἐν τῇ ὑποπτέρῳ δρυΐ, τὸν στερρῶς ἐρριζωμένον, ὑψίκομον καὶ αἰωνίως κινούμενον πυρῆνα τοῦ κόσμου, περὶ ὃν ὁ Ζεὺς ποικίλλει τὸν εὐρὺν καὶ κάλλιστον χιτῶνα* (*φᾶρος*), *παριστάντα τὸ περιέχον, τὸ τὸν κόσμον*[37] *περιβάλλον ὁρατόν, ὥσπερ ἡ δρῦς σημαίνει τὸν πυρῆνα τοῦ κόσμου. Τὰ τοῦ φάρους ποικίλματά εἰσι τὰ ὁρατὰ τοῖς ἀνθρώποις, ὧν μνημονεύονται τὰ κυριώτερα, ἤτοι ξηρὰ καὶ θάλασσα, ἅπερ ἐν τῇ πρώτῃ δημιουργίᾳ συνᾴδουσι τῷ πρώτῳ στερεῷ καὶ ὑγρῷ, ἅτινα πρὸ τῆς γεννήσεως τῶν στοιχείων ἐκ τοῦ Χρόνου διέκρινεν ὁ Ζεύς. Καὶ ταῦτα μὲν ὁ* **Preller**, *ὁ δὲ* **Conrad** *(p. 40) ἐξηγούμενος τὸ φᾶρος διὰ τοῦ οὐρανὸς λέγει, ὅτι κατὰ Πορφύριον* (*περὶ ἄντρ. N. K. XIV τῶν παλαιῶν τὸν οὐρανὸν εἰρηκότων οἷον θεῶν περίβλημα*) *οἱ ἀρχαῖοι ὠνόμαζον τὸν οὐρανὸν θεῶν περίβλημα· εἶτα προστίθενται ὑπὸ τοῦ* **Conrad** *ὁ Λεύκιππος καὶ ὁ Δημόκριτος, οἵτινες κατὰ τὸν Πλούταρχον* (*τὰ ἀρέσκ. φιλ. II.* 6. 396) «*χιτῶνα κύκλῳ καὶ ὑμένα περιτείνουσι τῷ κόσμῳ. Ἐπειδὴ δὲ ὁ Πλάτων ἐν Τιμαίῳ σελ.* 40 *καὶ ἑξῆς ποιεῖται λόγον περὶ Γῆς κειμένης*[38] «*ἐντὸς*

---

37) Ὁ **Preller** παραβάλλει ὑπὲρ τῆς γνώμης αὐτοῦ Φίλωνα *de Somn. I p. 92 vol. V. Pfeiff:* τὸ παμποίκιλον ὕφασμα, τουτονὶ τὸν κόσμον.

38) Ὁ **Conrad** μνημονεύει καὶ δεύτερον χωρίον τοῦ Τιμαίου σελ. 109, καθ' ὃ ἡ γῆ κεῖται «ἐν καθαρῷ τῷ οὐρανῷ», ἀναδιφήσαντες ὅμως μάτην ἀνεμνήσθημεν, ὅτι ἐν Φαίδωνι τοῦ Πλάτωνος γίνεται λόγος περὶ τῆς καθαρᾶς γῆς τῆς κειμένης ἐν καθαρῷ τῷ οὐρανῷ κατανοήσαντες ὅτι τυπογραφικῷ σφάλματι ἐγράφη παρὰ **Conrad** ὁ Τίμαιος ἀντὶ τοῦ Φαίδωνος. Ἡ περιγραφὴ τῆς ἐν τῷ οὐρανῷ γῆς παρὰ Φαίδωνι ἀναγινώσκεται ἐν τῷ *LVIII* κεφαλαίῳ κέ. Σημειωτέον δέ, ὅτι καὶ Νέανδρος *(**Entwickelung der gnost. Systeme p. 65**)* ἐννοεῖ ὑπὸ τὸ φᾶρος τὸν οὐρανόν. Τῶν ὀρφικῶν μνημονεύεται καὶ ποίημα ὀνομαζόμενον πέπλος ἀποδιδόμενον τῷ Ζωπύρῳ ἢ Βροντίνῳ. Πρβ. ***Lobeck Aglaoph.*** *379* κέ. ἔτι δὲ καὶ σελ. 549. 550· ἔνθα μνημονεύεται ὁμοία ἐνύφανσις τῆς κόρης (Περσεφόνης)· πρβ. Πρόκλον εἰς Τίμαιον *V. 307:* Ὀρφεὺς τὴν τῶν μεριστῶν ζωοποιὸν αἰτίαν ἄνω μένουσαν καὶ ὑφαίνουσαν τὸν διάκοσμον τῶν οὐρανίων, νύμφην τε εἶναί φησι καὶ ταῦτα τῷ Διῒ συναφθεῖσαν καὶ μένειν ἐν οἰκείοις ἤθεσι· προελθοῦσαν δὲ ἀπὸ τῶν ἑαυτῆς οἴκων ἀτελεῖς τε καταλείπειν τοὺς ἱστοὺς καὶ ἁρπάζεσθαι... Πορφ. π. Ἄντρ. ***N. XIV.***

οὐρανοῦ», διὰ ταῦτα ἀποφαίνεται ὁ Conrad, ὅτι ὁ πέπλος (φᾶρος), ἐν ᾧ ὁ Ζεὺς ποικίλλει τὴν γῆν καὶ τὸν ὠκεανόν, σημαίνει τὸν οὐρανόν, ὅστις τὰ πάντα περιβάλλει καὶ ὅστις κατὰ τὸν Εὐσέβιον (λόγ. τριακονταετ. VI 728 τὸν σύμπαντα οὐρανόν, οἷον μέγαν πέπλον παντοίοις γραφῆς κάλλεσιν ἐστεφάνωσε) ποικίλαις γραφαῖς κοσμεῖται· πρβ. Lobeck Aglaoph. 380. Κατὰ τὸν Zeller (I^4 74) ὁ Ζεὺς ποιεῖ μέγα φᾶρος, ἐν ᾧ ἐνυφαίνει τὴν γῆν καὶ τὸν ὠκεανὸν καὶ τὰ ὠκεανοῦ δώματα καὶ ὅπερ ἐξέτεινε ἐπὶ τῆς ὑπὸ πτερύγων φερομένης δρυός, τουτέστιν ἐνέδυσε τὸν ἐν τῷ σύμπαντι αἰωρούμενον (αἱ γὰρ πτέρυγες σημαίνουσιν ἐνταῦθα τὴν ἐλευθέραν αἰώρησιν καὶ οὐχὶ τὴν ταχεῖαν κίνησιν) γήϊνον ὄγκον τῇ ποικιλοτρόπως ἀλλοιουμένῃ ἐπιφανείᾳ τῆς ξηρᾶς καὶ τῆς θαλάσσης. Ἐκ δὲ τῶν νεωτάτων περὶ Φερεκύδου πραγματευθέντων ὁ Diels ἐν τῇ εἰρημένῃ αὐτοῦ διατριβῇ γράφει τάδε· «Ἡ ἑρμηνεία τοῦ Zeller φαίνεται ἐν τοῖς καθ' ὅλου ὀρθή· ἀλλ' ὅμως δύναταί τις ἀναγνωρίσαι ἐν αὐτῇ τὴν παλαιὰν ἰδέαν τῆς Ἰωνικῆς ποιήσεως καὶ φιλοσοφίας, οἵα παρίσταται ἡμῖν παρὰ Θάλητι; βεβαίως οὐχί· διότι κατὰ τοῦτον ἡ γῆ ἐν σχήματι δίσκου ἐπιπλέει τοῦ ὕδατος· διὰ ταῦτα δυνάμεθα κατανοεῖν τὴν καλλίστην εἰκόνα (τοῦ Φερεκύδου) ἔχοντες ἐν νῷ τὴν μεγάλην τοῦ Ἀναξιμάνδρου ἀνακάλυψιν διαλύσαντος κατὰ πρῶτον τὴν γῆν ἀπὸ τῆς ἐπὶ τοῦ ὕδατος βάσεως αὐτῆς καὶ θέντος αὐτὴν αἰωρουμένην ἐν τῷ κέντρῳ τοῦ σφαιρικοῦ αὐτοῦ συστήματος. Ἐὰν δὲ πρὸς τούτοις γινώσκωμεν, ὅτι διενοήθη τὸ σχῆμα τῆς γῆς κυλινδροειδὲς καὶ ὅμοιον στήλῃ [39], τότε ἀναμφιβόλως ὁ Φερεκύδης προηνέγκατο ἐν ἀρχαίῳ ἡσιοδείῳ κοσμολογικῷ τρόπῳ ἀνακάλυψιν τῆς συγχρόνου αὐτῷ φυσικῆς. Ὅτι δὲ τὴν Ἀναξιμάνδρειον στήλην μετέβαλεν εἰς δένδρον, τοῦτο ἐξηγεῖται ἐκ

15· καὶ παρὰ τῷ Ὀρφεῖ ἡ Κόρη, ἥπερ ἐστὶ παντὸς τοῦ σπειρομένου ἔφορος, ἱστουργοῦσα παραδέδοται κτλ. Πρόκλ. εἰς Κράτ. σελ. 24. Ἡ Κόρη καὶ πᾶς αὐτῆς ὁ χορὸς ἄνω μενούσης ὑφαίνειν λέγονται τὸν διάκοσμον τῆς ζωῆς. Ἡ πεπλοποιία τῆς Περσεφόνης φαίνεται ὅτι ἐστὶν ἀνθινὸς πέπλος ὃν ἡ γῆ περιβάλλεται κατὰ τὸ ἔαρ.

39) Πρβ. Δοξογρ. 555, 22: τὴν δὲ γῆν εἶναι μετέωρον ὑπὸ μηδενὸς κρατουμένην, μένουσαν δὲ διὰ τὴν ὁμοίαν πάντων ἀπόστασιν· τὸ δὲ σχῆμα αὐτῆς γυρὸν στρογγύλον, κίονι λίθῳ παραπλήσιον· πρβ. **Ritter-Preller**[7] σελ. 13.

τῆς ἀρχαίας ἰδέας περὶ τῶν ῥιζῶν τῆς γῆς (Ἡσιόδ. ἔργ. 19), ἥτις ἀπαντᾷ παρά τε τοῖς Ὀρφικοῖς καὶ τῷ Ξενοφάνει. Πρβ. **Karsten Xenoph.** σελ. 152. 156». Τὴν ἰδέαν ὅμως ταύτην ἐξήνεγκεν ἐν μέρει πολλαῖς δεκαετηρίσι πρότερον ὁ **Conrad** ἐν τέλει τῆς ἑαυτοῦ πραγματείας γράφων: «ὁ Ἀναξίμανδρος ὁμολογεῖται διδάξας, ὅτι ἡ γῆ κειμένη ἐν μέσῳ τοῦ κόσμου μετέωρος καὶ ἀκίνητος κρέμαται· ταύτῃ τῇ διδασκαλίᾳ συμφωνεῖ ἐν τοῖς καθ' ὅλου καὶ ὁ Ἀναξιμένης εἰπών, ὅτι ἡ γῆ κεῖται ἐπὶ πεπυκνωμένου ἀέρος, ἔτι δὲ καὶ ὁ Λεύκιππος καὶ ὁ Παρμενίδης καὶ ὁ Ἀναξαγόρας· ἡ μὲν δρῦς δηλοῖ τὴν ἀκινησίαν, αἱ δὲ πτέρυγες σημαίνουσιν, ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ οὐδενὶ στηρίγματι ἐρείδονται. Ὁ δὲ Φερεκύδης δι' ἰδιορρύθμου εἰκόνος ἐπειράθη ὑποτυπῶσαι ἐγκρίνων ταύτην τὴν διδασκαλίαν».

Ταῦτα ἐν τοῖς καθόλου ἐξάγονται ἐκ τῶν διεσπαρμένων ἀποσπασμάτων καὶ εἰδήσεων περὶ τῆς διδασκαλίας τοῦ Φερεκύδου, ἐχούσης μὲν ὁμοιότητα πρὸς τὰς δύο (I. 4) τῶν μνημονευθεισῶν ὀρφικῶν θεογονιῶν, διακρινομένης ὅμως αὐτῶν κατὰ τὸν ὑπὸ τοῦ Ἀριστοτέλους ὑποδειχθέντα τρόπον καὶ οὐδένα λόγον ποιουμένης περὶ τιτανομαχίας καὶ ἐκθρονίσεως τοῦ Κρόνου ὑπὸ τοῦ Διός, ὄντος ἐξ ἀρχῆς ἄρχοντος τοῦ οὐρανοῦ καὶ τοῦ σύμπαντος. Ἐὰν παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ εὕρηνται ἴχνη Θεογονίας, ἐν ᾗ ὁ Ὀφίων καὶ ἡ Εὐρυνόμη, εἶτα δὲ ὁ Κρόνος βαλὼν αὐτοὺς εἰς τὸν Ὠκεανόν, καὶ μετὰ ταῦτα τέλος ὁ Ζεὺς ἐκθρονίσας τὸν Κρόνον παρίστανται ὡς ἄρχοντες τοῦ οὐρανοῦ, ἀλλ' ὅμως παρὰ τῷ Φερεκύδῃ οὐδὲν ἴχνος τοιαύτης παραστάσεως διεσώθη. Ἐν τῇ θεογονίᾳ τοῦ Φερεκύδου ἀγωνίζεται μέν, ὡς εἴρηται, ὁ Ὀφιονεὺς πρὸς τὸν Χρόνον περὶ τῆς κατοχῆς τοῦ οὐρανοῦ, ἀλλ' ὅμως ὅτι ὁ Ὀφιονεὺς κατεῖχε πρὶν τὸν οὐρανόν, τοῦτο οὐδαμῶς λέγεται, ἄλλως τε καὶ τοιαύτη ἰδέα ἀπῇδεν ἂν πρὸς τὴν Φερεκύδειον ῥῆσιν «Ζεὺς ἦν εἰς ἀεὶ» (=αἰώνιος), ἔτι δὲ καὶ πρὸς τὴν μαρτυρίαν τοῦ Ἀριστοτέλους λέγοντος διαρρήδην, ὅτι ὁ Φερεκύδης ἐν ἀντιθέσει πρὸς τὰς ἀρχαιοτέρας Θεογονίας ἔθηκε τὸ πρῶτον γεννῆσαν ἄριστον· ψέγων δὲ ὁ Ἀριστοτέλης παρὰ ταῖς ἀρχαίαις Θεογονίαις «ὅτι βασιλεύειν καὶ ἄρχειν (=πρώτας ἀρχὰς εἶναι) φασὶν οὐ τοὺς πρώτους, οἷον νύκτα κ. τ. λ., ἀλλὰ τὸν Δία» καὶ ὅτι τὴν τὸν κόσμον κυβερνῶσαν δύναμιν ἤτοι τὸν Δία οὐ τιθέασι καὶ πρώτην ἀρχὴν (πρῶτον), ὑπεμφαίνει ἀρκούντως, ὅτι ὁ Φερεκύδης ἐτίθει τὸν Δία ὡς πρώτην ἀρχήν, ἕνεκα δὲ τούτου οὐ δυνάμεθα ὑπολαβεῖν

ὅτι ἐν τῇ Θεογονίᾳ τοῦ Φερεκύδου ὁ Ζεὺς ἐκθρονίσας τὸν Κρόνον ἐγένετο κύριος τοῦ οὐρανοῦ.

Ἤδη πρὸ τοῦ **Preller** *ὁ* **Zoega** *(**Abhandlungen** σελ.* 244) *ἀνεῦρεν ὁμοιότητα τῆς Φερεκυδείου Θεογονίας πρὸς τὰ Ἀργοναυτικὰ Ἀπολλωνίου τοῦ Ῥοδίου, ὁ δὲ* **Zeller** *ὁμογνωμονήσας κατ' ἀρχὰς τῷ* **Preller** *ὕστερον ἐν τῇ νέᾳ ἐκδόσει τῆς ἱστορίας αὐτοῦ ἀπέστη τῆς γνώμης ταύτης συμφωνήσας τῷ* **Conrad**. *Ὁ ἐν Βερολίνῳ καθηγητὴς* **C Robert** *ἐκδοὺς νεωστὶ τὴν μυθολογίαν τοῦ* **Preller** *καὶ μὴ μεταβαλὼν τὰ ἐν σελ.* 34 *παρὰ* **Preller** *ἀναγινωσκόμενα οὐκ ἐποίησεν ὀρθῶς, ὄντος πιθανωτάτου ὅτι ἐν τῇ Θεολογίᾳ τοῦ Φερεκύδου οὐδεὶς λόγος ἐγίγνετο περὶ τιτανομαχίας. Διὰ τὴν αὐτὴν δὲ αἰτίαν ἀποδοκιμαστέα καὶ ἡ γνώμη τοῦ* **Preller** *ἀνάγοντος (σελ.* 182 *παρὰ* **Robert**) *τὰ ἐν καταστερισμοῖς τοῦ ψευδοερατοσθένους κ.* 39: *Θυτήριον, τοῦτό ἐστιν ἐν ᾧ πρῶτον οἱ θεοὶ τὴν συνωμοσίαν ἔθεντο, ὅτε ἐπὶ Κρόνου ὁ Ζεὺς ἐστράτευσεν εἰς Φερεκύδην τὸν Σύριον. Παρατηρητέον δέ, ὅτι καὶ ὁ* **Bergk** *ἐν τῷ δευτέρῳ τόμῳ τῆς ἑαυτοῦ γραμματολογίας ὀρθῶς μὲν λέγει, ὅτι ὁ Φερεκύδης ἀπέλαυε μεγίστης ὑπολήψεως παρὰ τοῖς μεταγενεστέροις αὐτοῦ, καὶ ὅτι οἱ γραμματικοὶ ἐμνημόνευον αὐτὸν ὡς τύπον τῆς καθαρᾶς, ἀρχαίας καὶ ἀμιγοῦς ἰάδος*[40], *ὅτι ὅμως καὶ ὁ Αἰγύπτιος ποιητὴς Νόννος ἐν τοῖς Διονυσιακοῖς αὐτοῦ μετωχέτευσεν ἐκ τοῦ Φερεκύδου, τοῦτο ἐξελέγχει ὁ* **Volkmann** *ἐν τῇ ἐπικρίσει τοῦ βιβλίου τοῦ* **Bergk** *ὡς ἀπίθανον (**Zeitschrift für das Gymnasialwesen** σελ.* 157)· *μᾶλλον δὲ ἀπίθανός ἐστιν ὁ ἰσχυρισμὸς τοῦ* **Bergk** *(τομ.* ***III***, 525), *ὅτι παρὰ τῷ Φερεκύδῃ, ὡς παρὰ Ἀπολλωνίῳ τῷ Ῥοδίῳ, ὁ πρῶτος ἄρχων τοῦ οὐρανοῦ ἦν ὁ Ὀφιονεύς. Ὡσαύτως δὲ ὀρθῶς πρῶτος ὁ* **Bergk** *ἀπεφήνατο, ὅτι ὁ Αἰσχύλος ἐν*

40) Ἡ διάλεκτος τῆς φερεκυδείου Θεογονίας ἦν, ὡς εἰκός, Ἰωνική· Ὁ Ἀπολλώνιος ὁ ἐπικαλούμενος τεχνικὸς καὶ ὁ Ἡρωδιανὸς μνημονεύουσι συχνάκις παραδείγματα τῆς ἀρχαίας ἰάδος πρὸς τῷ Ἑκαταίῳ καὶ Δημοκρίτῳ ἐκ τοῦ Φερεκύδου, οἷον ὁ Ἀπολλώνιος περὶ Ἀντων. σελ. 82 C: καὶ Φερεκύδης ἐν τῇ Θεολογίᾳ καὶ ἔτι Δημόκριτος—συνεχέστερον χρῶνται τῇ ἐμεῦ καὶ ἔτι τῇ ἐμέο καὶ σελ. 118 B ἔστι δὲ πιστώσασθαι καὶ τὸ ἀδιαίρετον τῆς εὐθείας (ἡμεῖς, ὑμεῖς, σφεῖς) καὶ Ἴωσιν ἐκ τῶν περὶ Δημόκριτον, Φερεκύδην, Ἑκαταῖον.

τῷ Προμηθεῖ ὑπηνίξατο τὴν Θεογονίαν τοῦ Φερεκύδου, καταδεικνυμένου τούτου ἐκ τοῦ παρ' Αἰσχυλ. στιχ. 210

καὶ Γαῖα πολλῶν ὀνομάτων μορφὴ μία[41],

ἀλλ' ὅμως ἐσφαλμένως ἀνάγει ὁ **Bergk** (*III*, 325) 956 *κέ*

οὐκ ἐκ τῶν δ' ἐγὼ
δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην

εἰς τοὺς κατὰ τὸν Φερεκύδην ἐκθρονισθέντας Κρόνον καὶ Ὀφιονέα καὶ ἐν γένει ψευδοδοξεῖ[42] *ὁ* **Bergk** *διατεινόμενος, ὅτι ὁ Προμηθεὺς τοῦ Αἰσχύλου περιέχει περίληψιν ἁπάσης τῆς Φερεκυδείου Θεογονίας, διότι ἡ παρ' Αἰσχύλῳ παράστασις τοῦ Διός, καταλαβόντος τὸν οὐρανὸν μετὰ τὴν ἐκθρόνισιν τοῦ Οὐρανοῦ καὶ τοῦ Κρόνου, διαφέρει τὰ μάλα τῆς περὶ Διὸς ἰδέας τοῦ Φερεκύδου, ποιοῦντος ἐν τῇ Θεογονίᾳ αὐτοῦ, ὡς ἱκανῶς ἐν τοῖς ἔμπροσθεν δεδήλωται, τὸν ὕπατον θεὸν ἐξ ἀρχῆς καὶ αἰωνίως τέλειον Δημιουργόν.*

41) Πρβ. σελ. 85.
42) Πρβ. *Otto* ***Kern*** *p.* 103 κέ.